zur Rettung vor dem vollständigen Untergang der Christen durch Naturkatastrophen und Kriegshandlungen (92—107). *Aufforderung zur Umkehr zu einem gottgefälligen Leben* (108—129). *Erinnerung an das Jüngste Gericht* (130—154). *Aufforderung zur Reue* (155—163). *Das nachahmenswerte Beispiel der reuigen Amarantina* (164—171). *Ihre Aufnahme durch Gott, der die Umkehr der Sünder zum wahren Leben wünscht* (172—182). *Segenswunsch des Patriarchen* (183—190).

Belehrung, (welche erfolgte,) als die zuvor der Zauberei nachgehende Amarantina auf Ermahnung und Anraten unseres hochheiligsten Herrn, des Patriarchen, Nonne wurde

Wahrhaftigste, im Herrn geliebte Söhne unserer Bescheidenheit! Gnade, Friede, Erbarmen, Wohlstand {an Gütern} und Rettung der Seele erbetet unsere Bescheidenheit für Euch von Gott dem Allherrscher.

Ihr wißt, meine lieben Kinder in Christus, daß Gott uns aufgrund seiner unsagbaren Beweggründe und Ratschlüsse auf den Patriarchenthron berufen hat. Weder wußten wir nämlich von der Berufung dazu noch verlangten wir nach diesem geistigen Amt noch auch strebten wir aus eigenem Antrieb danach. Aber auch von der Unterstützung der Freunde machten wir keinen Gebrauch noch wollten wir diesen Ruhm und dieses Amt ergreifen — Gott sei unser Zeuge.

Nachdem wir nun erkannt hatten, daß es letztlich nicht nützlich sei, sich dem göttlichen Ratschlag zu widersetzen, da Gott selbst alles bewirkt und verändert, wie niemand zu begreifen vermag, überantworteten wir ihm, der die Schwachen stärkt, die Unwissenden durch das Licht des hochheiligen Geistes weise macht und die Ungebildeten belehrt, unsere Angelegenheiten und gaben uns, auch wenn uns nichts von dem, was dazu führte, bewußt wurde, dennoch der dienenden Erfüllung dieses göttlichen Wunsches hin.

Ἔνθεν τοι καὶ ὡς ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν προστασίαν τῶν ὑμετέρων ψυχῶν ἀναδεξάμενοι καὶ κατὰ τὸν μέγαν ἀπόστολον χρέος ἀπαραίτητον ἔχοντες «ἀγρυπνεῖν ὑπὲρ σωτηρίας τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες» διατοῦτο καὶ νυκτὸς καὶ ἡμέρας ἀναγκαῖον κρίνομεν μετὰ τοῦ ὑπερεύχεσθαι καὶ γράφειν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι πρὸς ὑμᾶς τὰ θεοφιλῆ καὶ ψυχωφελῆ, ἐπεὶ καὶ τούτου χάριν ἐτάχθησαν οἱ ποιμένες, καθὼς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ἐδίδαξεν. ἰδοὺ τοίνυν προσέχειν τοῖς λεγομένοις παρακαλοῦμεν τὴν ὑμετέραν ἀγάπην. ἴσως γὰρ ἄν τι ἐντεῦθεν καὶ ὠφέλιμον λάβητε.

Ὁ πανοικτίρμων καὶ φιλάγαθος Κύριος, ὁ ἀληθὴς Θεὸς ἡμῶν, ἀπὸ τῆς οἰκείας αὐτοῦ χρηστότητος τὸ ἀνθρώπινον γένος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγα|γὼν τῇ ἰδίᾳ εἰκόνι τοῦτο ἐτίμησε καὶ τῆς τοῦ παραδείσου τρυφῆς καὶ ἀπολαύσεως κατηξίωσεν. ὁ δὲ ἀντικείμενος καὶ κοινὸς ἐχθρὸς καὶ πολέμιος φθονήσας αὐτῷ τῆς μακαρίας καὶ καλῆς ἐκείνης διαγωγῆς τὲ καὶ καταστάσεως οὐκ ἐπαύσατο πάντας μετερχόμενος καὶ μεταχειριζόμενος τρόπους, ὥστε ἀθλίως ἐκπεσεῖν τοῦτο τῶν ἀγαθῶν ἐκείνων, δι' ὧν ἐτιμήθη, καὶ εἰς μυρίας πλάνας καταπεσεῖν.

Ὅθεν καὶ διὰ τὴν γενομένην λήθην τῆς θείας ἐκείνης ἐντολῆς τῆς τῷ πρώτῳ ἀνθρώπῳ δοθείσης καὶ τὴν ἐπελθοῦσαν, φεῦ, παράβασιν Θεὸς αὐτὸς ἀπὸ τῶν οἰκείων οἰκτιρμῶν κινηθεὶς κἀντεῦθεν τὸ οἰκεῖον πλάσμα γνησίως ἀνακαλούμενος ἐξ οὐρανοῦ κατέρχεται καὶ ἄνθρωπος γίνεται, σαρκωθεὶς ἐκ τῆς πανυπεράγνου δεσποίνης ἡμῶν καὶ ἀειπαρθένου Θεοτόκου, καὶ πάθη τὰ σωτήρια παθεῖν ὑπὲρ τῆς ἁπάντων καταδέχεται σωτηρίας καὶ τὸ αἷμα τὸ πανάγιον ἐξέχεε, δι' οὗ καὶ τὴν τοῦ διαβόλου τελείως κατέλυσε τυραννίδα, καὶ ἀκρογωνιαῖος λίθος γενόμενος τῆς αὐτοῦ ἐκκλησίας ἄκρᾳ φιλανθρωπίᾳ καὶ ἀγαθότητι ἐν ἀσφαλεῖ θεμελίῳ ταύτην ἐπῳκοδόμησε.

Καὶ οἱ ἀπὸ τῆς τοῦ Κυρίου χάριτος προβεβλημένοι κατὰ διαδοχὴν προμάχεσθαι τῆς ἀληθείας τὰς τοῦ πολεμίου καὶ βασκάνου ἐχθροῦ μηχανὰς καὶ ἐπιβουλὰς κακῶς ἀναφυομένας ἐκτέμνουσι τῇ μαχαίρᾳ τοῦ πνεύματος καὶ εἰς τὸ μηδὲν ἀφανίζουσιν.

23—24 ἀγρυπνεῖν—ἀποδώσοντες] Heb. 13, 17 (sine σωτηρίας) || 26—27 ἐπεὶ—ποιμένες] cf. Joh. 10, 11 || 31—32 ἐκ—παραγαγὼν] Io. Chrys., In Gen. hom. 37, 2 (*PG* 53, 343, 32); cf. etiam Ps.-Dion. Ar., De cael. hier. XIII 4: πρὸς τὸ εἶναι

Daher und weil wir die Leitung Eurer Seelen von unserem Herrn Jesus Christus empfangen und nach den Worten des großen Apostels die unumgängliche Verpflichtung erhalten haben, „über das Heil Eurer Seelen zu wachen, da wir darüber Rechenschaft ablegen werden", erachten wir es folglich für notwendig, neben dem Gebet, das wir Tag und Nacht für Euch verrichten, auch an Euch zu schreiben und Euch zu ermahnen und zu einem gottgefälligen und der Seele nützlichen (Lebenswandel) anzuleiten, da eben dafür die Hirten eingesetzt worden sind, wie der Herr in den Evangelien lehrte. Also fordern wir Eure Liebe auf, die (folgenden) Worte zu beachten. Denn vielleicht erfahrt Ihr davon auch einen Nutzen.

Nachdem der allbarmherzige und das Gute liebende Herr, unser wahrer Gott, aufgrund der ihm eigenen Güte das Menschengeschlecht aus dem Nichts in das Sein geführt hatte, ehrte er dieses mit seinem Abbild und würdigte es der üppigen Freuden des Paradieses. Der Widersacher und gemeinsame Feind aber neidete diesem (= dem Menschen) jenen seligen und schönen Zustand des Lebens und ließ nicht davon ab, alle Mittel und Wege zu benützen, damit dieses (= das Menschengeschlecht) jener Güter elendiglich verlustig gehe, deren es gewürdigt worden war, und in abertausende Irrtümer verfalle.

Daher und weil der erste Mensch jenes ihm gegebene göttliche Gebot vergessen und, weh uns, in der Folge übertreten hatte, ließ sich Gott selbst vom eigenen Erbarmen bewegen: Er (= Gott) ruft daher sein Geschöpf wahrhaft zurück und steigt vom Himmel herab und wird Mensch, Fleisch geworden durch unsere überaus reine Herrin und ewig jungfräuliche Gottesgebärerin, und er nimmt es auf sich, die heilbringenden Leiden für das Heil aller zu erleiden. Er vergoß sein hochheiliges Blut, mit dem er die Herrschaft des Teufels vollständig vernichtete, und wurde durch seine äußerste Menschenliebe und Güte zum Eckstein seiner Kirche und baute sie auf sicherem Fundament.

Und diejenigen, die aus der Gnade des Herrn eingesetzt wurden, um in (seiner) Nachfolge für die Wahrheit zu kämpfen, schneiden mit dem Schwert des Geistes die böse wachsenden Ränke und Anschläge des heimtückischen Feindes ab und machen sie zunichte.

παραγαγὼν (49, 5 Heil-Ritter) || 38—39 cf. Gen. 3, 1—7 || 41—44 ἐξ—ἐξέχεε] cf. symbolum Nicaeno-Constantinopolitanum (246, 7—9 Dossetti) || 45—46 ἀκρογωνιαῖος λίθος et θεμελίῳ] cf. Eph. 2, 20 || 50—51 μαχαίρᾳ] cf. Eph. 6, 17

Ἐπεὶ τοίνυν αὐτὸς ὁ πονηρὸς καὶ κοινὸς τοῦ γένους ἡμῶν ἐπίβουλος καὶ πολέμιος καὶ ἐχθρός, ὡς εἴρηται, καὶ τῶν ζιζανίων σπορεὺς μὴ φέρων ὡς ἀνθρωποκτόνος τὴν ἧτταν ἄλλοτε ἄλλοις κέχρηται δελεάσ- *139v* μασι || καὶ ἐπιβουλαῖς, διαστρέφων τὸ χριστιανικὸν γένος, ὑπὲρ οὗ Χριστὸν τὸν ἀληθῆ Θεὸν ἡμῶν ⟨ὑμνοῦ⟩μεν καταδεξάμενον τὸν ὑπὲρ ἁπάντων σωτηριώδη θάνατον, καὶ ἐπὶ καιρῶν διαφόρων ὀργάνοις χρῆται πρὸς ὑπουργίαν τῆς κακίας αὐτοῦ καὶ πρὸ τοῦ νόμου καὶ μετὰ τὸν νόμον εἰς εἰδωλολατρίαν ὑπεσκέλισε τοὺς ἀνθρώπους, μετὰ δὲ τὴν ἔνθεον τοῦ Κυρίου ἐνανθρώπησιν κατήνεγκεν αὐτοὺς εἰς αἱρέσεις καὶ κακοδοξίας καὶ σχίσματα καὶ καινοφωνίας καὶ πλάνας παντοίας ἐπὶ τῷ ἀποστῆσαι τοῦ πεποιηκότος Θεοῦ.

Ἐπεὶ γοῦν εἶδεν ὁ ἀντικείμενος τὰς μηχανὰς αὐτοῦ καὶ κακουργίας ἐκείνας καταργηθείσας τῇ θεϊκῇ δυνάμει, νῦν πρὸς τὸ τελευταῖον καὶ μεῖζον κακόν, τὰς γοητείας δηλονότι καὶ μαγείας καὶ ἐπῳδάς, τὸ ταλαίπωρον γένος τῶν ἀνθρώπων ἐκκλῖναι ἀντιτεχνᾶται καὶ τῆς νόσου ταύτης μεταδίδωσι τοῖς ἀκεραιοτέροις καὶ ἁπλουστέροις καὶ ἀφυλάκτως ἐξ ἀπροσεξίας βιοῦσι, καθὼς | πάντως ἐγνωρίσατε, ἐν Κυρίῳ τέκνα μου ἀγαπητά, καὶ ὅπως ὑπέβαλεν ὁ ἐχθρὸς καὶ ταυτηνὶ τὴν γυναῖκα τὴν Ἀμαραντίναν μαγείαις πρότερον προσκειμένην καὶ ἀπὸ κοιλίας μαντικὰς φλυαρίας φθεγγομένην καὶ διαβολικὰς καὶ πάσης ἀσεβείας μεστὰς εἴς τε ἀθέτησιν τῆς ὀρθοδόξου καὶ εὐσεβοῦς τῶν Χριστιανῶν πίστεως καὶ εἰς ἀπάτην καὶ πλάνην καὶ ψυχικὸν αὐτῶν ὄλεθρον καὶ ὅπως ἀπὸ τῆς τοιαύτης πλάνης παρεσύρησαν, οἵτινες δὴ καὶ παρεσύρησαν, εἰς τὴν διαβολικὴν ταύτην ἀπάτην.

Ἦν οὖν ἡ τοιαύτη ἀσέβεια ἐπὶ χρόνοις ἱκανοῖς κρυπτομένη τὲ καὶ λανθάνουσα. προμηθευσαμένη δὲ ἡ μετριότης ἡμῶν Χριστοῦ χάριτι κατὰ τὸ εἰκὸς καὶ διὰ φροντίδος ποιησαμένη, ὥστε καταφανῆ καὶ φανερὰν γενέσθαι τὴν τοιαύτην συγκεκαλυμμένην πλάνην, μετὰ τῆς προσηκούσης πρότερον παραινέσεως ἐξήνεγκε καὶ βάρος ἐκκλησιαστικοῦ ἐπιτιμίου. καὶ ὁ τὴν σωτηρίαν ἁπάντων πραγματευόμενος Κύριος καὶ τὰ ἐ-

53 τῶν ζιζανίων σπορεὺς] cf. Mt. 13, 25 || 54 ἀνθρωποκτόνος] cf. Io. 8, 44 || 70—71 ἀπὸ κοιλίας ... φθεγγομένην] cf. Is. 8, 19 || 81—82 τὰ ἐναντία διὰ τῶν ἐναντίων οἰκονομῶν] forsitan Io. Chrys., In epist. 1 ad Cor. hom. 4, 3: τὰ ἐναντία διὰ τῶν ἐναντίων κατασκευάζων (*PG* 61, 34, 15); cf. linn. 161—162 huius documenti

Da nun dieser böse gemeinsame Widersacher, Gegner und Feind unseres Geschlechtes und Sämann des Unkrauts, wie gesagt, weil er ein Menschenmörder ist, die Niederlage nicht ertrug, verwendete er jedesmal andere Lockmittel und Hinterhalte, mit denen er dem Christengeschlecht den Sinn verdreht, für das Christus, unser wahrer Gott, wie wir ⟨preisen⟩, den für alle heilbringenden Tod auf sich genommen hat. Er (= der Böse) verwendet zu verschiedenen Zeiten Werkzeuge zur Unterstützung seiner Schlechtigkeit. (So) verleitete er sowohl vor dem Gesetz als auch nach dem Gesetz die Menschen zu Götzendienst und nach der gotterfüllten Menschwerdung des Herrn stürzte er sie in Häresien und falschen Glauben und Spaltungen und unerhörte Neuerungen und alle möglichen Irrtümer, um sie zum Abfall von Gott, ihrem Schöpfer, zu bewegen.

Da nun der Widersacher gesehen hat, daß seine Ränke und Bosheiten durch die göttliche Kraft wirkungslos geworden sind, versucht er nun im Gegenzug, das geplagte Menschengeschlecht zum letzten und größten Übel, nämlich zu Zauberei, Magie und Zaubersprüchen, zu verleiten, und steckt mit dieser Krankheit diejenigen an, die am unerfahrensten und einfältigsten sind und aus Unachtsamkeit unvorsichtig leben. Ihr habt doch erfahren, meine im Herrn geliebten Kinder, daß der Feind auch diese Frau, Amarantina, anstiftete, die schon früher der Zauberei angehangen und aus dem Bauch weissagendes teuflisches Geschwätz voll jedes Irrglaubens hervorgebracht hatte, um den rechten und frommen Glauben der Christen zunichte zu machen und sie (= die Christen) zu betrügen, zu täuschen und ihre Seelen zu verderben. (Ihr wißt auch), daß sich von dieser Täuschung diejenigen zu diesem teuflischen Betrug hinreißen ließen, die sich eben dazu hinreißen ließen.

Dieser Irrglauben blieb nun über einige Jahre verborgen und geheim. Unsere Bescheidenheit aber sorgte durch Christi Gnade, wie es sich gehört, vorausschauend dafür, daß diese verdeckte Irrung offenbar und sichtbar wurde, und drohte nach der zuvor gebührenden Ermahnung auch mit einer kirchlichen Strafe. Und (so) ließ der Herr, der auf das Heil aller hinwirkt und das Gegenteil

54 κέχρηται] litt. κ ex χ corr. V || 56 an ἀληθινὸν legendum? ἀληθινὸν MM | ἡμῶν ⟨ὑμνοῦ⟩μεν] an πιστεύομεν vel ὁμολογοῦμεν coniecendum est? pro ἡμῶν lacunam indicaverunt MM || 65 μαγίας MM || 67 ἀκεραιοτέροις] litt. έ ex α corr. V || 68 ἐγνωρίσατε] litt. γ ex corr. V

ναντία διὰ τῶν ἐναντίων οἰκονομῶν οὐκ ἠνέσχετο οὐδὲ παρεχώρησεν ἐπιπλέον συγκρύπτεσθαι καὶ λανθάνειν τὰ εἰρημένα τῆς Ἀμαραντίνης κακουργήματα, ἀλλὰ ταῖς ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων αὐτοῦ εὐχαῖς καὶ δεήσεσιν ἐπικαμφθεὶς ὡς εὔσπλαγχνος φύσει καὶ φιλοικτίρμων εἰς μέσον παρεσκεύασε ταῦτα θριαμβευθῆναι καὶ ἀπελεγχθῆναι καὶ διὰ τῆσδε τῆς Ἀμαραντίνης ἀπὸ στόματος ἀνομολογησάσης ἐπὶ τῆς καθ' ἡμᾶς θείας καὶ ἱερᾶς συνόδου καὶ δι' ἑτέρων πολλῶν προσδραμόντων τῇ κοινῇ μητρί, τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, τῷ κοινῷ τῶν ψυχῶν ἰατρείῳ, καὶ ἐξομολόγησιν καθαρὰν ποιησαμένων καὶ πρὸς θεραπείαν καὶ ἐξιλασμὸν προσήκοντα λαβόντων καὶ τὰ φάρμακα.

Τοῦτο δὲ γέγονεν εὐδοκίᾳ Θεοῦ, ὡς ἂν μὴ καθόλου τὸ τῶν Χριστιανῶν ἀπόληται γένος ἐνεργουμένων καὶ ἔτι τῶν τοιούτων θεομισῶν ἀσεβημάτων καὶ μιασμάτων. διαταῦτα γὰρ ἐπῆλθον ἀπὸ τῆς θεηλάτου καὶ δικαίας ὀργῆς ἐξ ἀγανακτήσεως οἵ τε λιμοὶ καὶ λοιμοὶ ἐκεῖνοι καὶ οἱ τῆς γῆς ἀνατιναγμοὶ καὶ σεισμοὶ ἐκ θεμελίων ταύτην σαλεύοντες καὶ αἱ τῆς θαλάσσης φοβεραὶ ἐκδρομαὶ καὶ ἐπικλύσεις, βρυχωμένης ὥσπερ ἐν θυμῷ καὶ παρερχομένης τὰ ἑαυτῆς ὅρια, καὶ οἱ κατακλυσμοὶ καὶ οἱ ἐνσκήψαντες ἐμπρησμοὶ καὶ οἱ τοσοῦτοι ἐμφύλιοι πόλεμοι καὶ ἡ ἀπροσδόκητος ῥομφαία τοῦ θανατικοῦ καὶ ὁ φόνος τῶν ὁμοφύλων χριστιανῶν ἀδελφῶν καὶ γνησίων συγγενῶν ὑπ' ἀλλήλων, φεῦ, καθεκάστην φονευομένων, ἀγνοησάντων τοὺς ὅρους τῆς φύσεως ὑπὸ τῆς τοῦ διαβόλου φρενοβλαβίας, | καὶ ἡ παρὰ τῶν βαρβάρων καὶ ἀσεβῶν ἐχθρῶν καὶ ἀθέων ἐπελθοῦσα χαλεπὴ καὶ μεγάλη αἰχμαλωσία καὶ ὁ ἀφανισμὸς καὶ ἡ φθορὰ καὶ ἡ διασπορά, ἣν ὑπέστη καὶ ὑφίσταται ἀθλίως τὸ τῶν Χριστιανῶν γένος, περὶ ὧν οὔτε ἀκούειν δυνατὸν οὔτε λέγειν ἀδακρυτί.

Διὰ ταῦτα παρακαλῶ ὑμᾶς καὶ ἐκ μέσης τῆς ψυχῆς παρακαλῶ, τέκνα μου ἐν Χριστῷ ἀγαπητά, ἵνα ἐπιστρέψητε ἕκαστος ὑγιῶς καὶ γνησίως καὶ ἐξ ὅλης ψυχῆς καὶ διανοίας πρὸς Θεὸν τὸν μόνον σώζειν δυνάμενον καὶ ἔχητε πρὸ ὀφθαλμῶν τὸν φόβον αὐτοῦ καὶ προσέχητε, πῶς περιπατεῖτε, καὶ συντηρῆτε καὶ φυλάσσητε ἑαυτοὺς ἀκλονήτους εἰς τὴν πατροπαράδοτον καθαρὰν καὶ ὀρθόδοξον εὐ-

89—90 τῷ κοινῷ τῶν ψυχῶν ἰατρείῳ] cf. e. g. Io. Chrys., In Gen. hom. 1, 1 (*PG* 53, 22, 3—6)

durch das Gegenteil einrichtet, es nicht zu und duldete es nicht, daß die genannten Freveltaten der Amarantina noch länger versteckt und verborgen blieben, sondern ließ sich durch die Gebete und Bitten von uns Sündern, seinen unwürdigen Dienern, erweichen und sorgte, da er von Natur aus barmherzig und mitleidig ist, dafür, daß sie (= die Freveltaten) öffentlich angeprangert wurden, und dies sowohl von dieser Amarantina mit einem Geständnis aus ihrem eigenen Mund vor unserer göttlichen und heiligen Synode als auch von vielen anderen, die bei der gemeinsamen Mutter, der Kirche Gottes, der allgemeinen Heilstätte der Seelen, Zuflucht suchten und ein reines Geständnis ablegten und die für ihre Heilung und Sühne die passenden Arzneien empfingen.

Dies geschah mit Gottes Wohlwollen, damit das Christenvolk nicht dadurch vollständig zugrunde gehe, daß solche gottverhaßten Irrungen und Freveltaten auch weiterhin begangen werden. Ihretwegen nämlich kamen durch den gerechten Zorn und Unwillen Gottes jene Hungersnöte und Seuchen, aber auch die Erdbeben, die die Erde in ihren Grundfesten erschütterten, die fürchterlichen Sturmfluten des Meeres, das wie im Zorn brüllte und seine Grenzen überschritt, die Überschwemmungen und die (über uns) hereinbrechenden Feuersbrünste, die vielen Bürgerkriege, das unerwartete Schwert der tödlichen Pest, das gegenseitige Morden unter demselben Volk angehörenden Christenbrüdern und echten Verwandten, die, ach, tagtäglich hingemordet wurden und die Regeln der Natur in teuflischem Wahnsinn mißachtet hatten, die schlimme Gefangennahme vieler Menschen durch die Barbaren und irrgläubigen und gottlosen Feinde und die Vernichtung, Zerstörung und Zerstreuung, die das Christenvolk in elender Weise erlitt und erleidet. Ohne Tränen kann man davon weder hören noch sprechen.

Deswegen, meine in Christus geliebten Kinder, bitte ich Euch inständig und aus vollem Herzen, daß ein jeder von Euch gesund und aufrichtig aus ganzem Herzen und Denken zu Gott umkehrt, dem einzigen, der (Euch) zu retten vermag. Haltet Euch die Gottesfurcht vor Augen! Gebt acht, wie Ihr Euren Lebenswandel gestaltet! Laßt Euch in Eurem von den Vätern ererbten reinen und

83 λανθάνειν] litt. θ difficulter legitur || 85 δεήσεσιν] litt. δ ex θ corr. V | εὔσπλαχνος MM || 97 ἐπικλύσεις] litt. ύ ex corr. V || 101 ὑπαλλήλων V || 112 συντηρεῖτε V, MM | φυλάσσετε MM

σέβειαν καὶ πίστιν ὑμῶν καὶ ἀπέχησθε καθόλου ἀπὸ τῆς ἐπιμιξίας καὶ συμφιλιώσεως καὶ κοινωνίας τῶν τοιούτων ψυχοφθόρων καὶ λυμεώνων καὶ ἔχητε καὶ τὴν μετ' ἀλλήλων ἐπαινετὴν εἰρήνην καὶ ἀγάπην, μεμνημένοι τοῦ μεγάλου ἀποστόλου Παύλου διδάσκοντος· «ἀδελφοί, εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον», καὶ κατὰ τὸν αὐτὸν μέγαν ἀπόστολον ἐπεκτείνησθε τοῖς ἔμπροσθεν καλοῖς ἔργοις καὶ κατορθώμασι καὶ ἐνθυμῆσθε τὸ ἐπίκηρον καὶ βραχὺ τῆς παρούσης ζωῆς τάς τε
140r μελλούσας αἰωνίους || τῶν ἀγαθῶν κληρουχίας τῶν καλῶς καὶ θεαρέστως ἐνταῦθα βεβιωκότων καὶ τὰς ἀτελευτήτους κολάσεις τῶν ἀμετανοήτως ἁμαρτανόντων, ἵνα διὰ τῆς καλῆς ὑμῶν ἀναστροφῆς καὶ πολιτείας καὶ ἐκπληρώσεως τῶν θείων ἐντολῶν δοξάζηται τὸ πανάγιον ὄνομα τοῦ Θεοῦ. ἐδιδάχθητε δὲ καὶ ἐν τῇ τοῦ ἁγίου βαπτίσματος ἀποταγῇ τῶν σατανικῶν ἔργων καὶ τῇ τοῦ Χριστοῦ συνταγῇ τὰ ἀρέσκοντα τῷ Θεῷ καὶ τὴν τῶν κακῶν ἀποφυγὴν καὶ ἀλλοτρίωσιν.

Φοβηθῶμεν τοίνυν, ἀγαπητοί, καὶ ἀποστήτω ἕκαστος ἀπὸ τῶν πονηριῶν ὑμῶν καὶ μὴ καταδεχέσθω συναπάγεσθαι τοῖς τοῦ διαβόλου θεραπευταῖς, ἀλλὰ σπουδαζέτω τὴν ἑαυτοῦ ψυχὴν τῆς αἰωνίου κατακρίσεως περισώσασθαι. γέγραπται γάρ, ὅτι· «πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος πρὸς ὃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε πονηρόν», ἐπεὶ καὶ αἱ κατὰ τὸ θεῖον, ὡς εἴρηται, βάπτισμα συνθῆκαι καὶ συνταγαὶ μεγάλαι καὶ οἱ μάρτυρες αἰδοῦς ἱκανοὶ ἄγγελοι καὶ γὰρ κατὰ τὸν καιρὸν ἐκεῖνον τὴν ὁμολογίαν ἐγγράφουσιν, ἣν καὶ ἀπαραιτήτως ἀπαιτηθησόμεθα ἐν τῇ φοβερᾷ παρουσίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ ἡμέρᾳ τῆς μελλούσης ἀνταποδόσεως.

Τίς οὖν οὐ τρέμει τὸ λο|γοθέσιον ἐκεῖνο τὸ μέγα καὶ ἀδέκαστον, ὅτε παραστησόμεθα γυμνοὶ καὶ τετραχηλισμένοι ἐπὶ τοῦ φοβεροῦ καὶ ἀπαραλογίστου κριτηρίου ἐκείνου, λόγον ἀπαιτούμενοι τῶν πεπραγ-

118—119 Heb. 12, 14 (cf. Ps. 33, 15) || 120 ἐπεκτείνησθε τοῖς ἔμπροσθεν] Phil. 3, 13 || 126—129 ἐδιδάχθητε—ἀλλοτρίωσιν] cf. preces pro catechumenis, Euchologium magnum 150—151 (ed. Rom.) || 133—134 πάντες—Χριστοῦ] Rom. 14, 10 || 134—135 ἵνα—πονηρόν] 2 Cor. 5, 10 (φαῦλον) || 137—138 καὶ γὰρ κατὰ τὸν καιρὸν ἐκεῖνον τὴν ὁμολογίαν ἐγγράφουσιν] cf. e. g. Hermas, Visiones pastoris I 3,

rechten frommen Glauben nicht erschüttern! Haltet Euch gänzlich von jedem Kontakt und jeder Annäherung und Gemeinschaft mit diesen Seelenverderbern und Zerstörern fern! Lebt miteinander in löblichem Frieden und in Liebe und gedenkt der lehrenden Worte des großen Apostel Paulus: „Strebt, Brüder, nach Frieden mit allen und nach der Heiligung, ohne die keiner den Herrn sehen wird!". Und wiederum nach den Worten des großen Apostels: Streckt Euch nach den vor Euch liegenden guten Werken und rechten Taten! Denkt an die Vergänglichkeit und Kürze des gegenwärtigen Lebens und an das künftige ewige Erbe der Güter für diejenigen, die hier gut und gottgefällig gelebt haben, und an die endlosen Strafen der nicht bereuenden Sünder, damit durch Euren guten Lebenswandel und die Erfüllung der göttlichen Gebote der hochheilige Name Gottes gepriesen wird! Ihr seid ja auch über das, was Gott gefällt, und über die Flucht und Entfremdung vom Übel belehrt worden, als Ihr bei der heiligen Taufe den Werken Satans widersagt und Euch Christus angeschlossen habt.

Wir wollen uns hüten, Ihr Lieben, und ein jeder soll ablassen von seinen Missetaten und es nicht zulassen, daß er von den Dienern des Teufels verleitet wird. Vielmehr soll sich (ein jeder) bemühen, seine Seele vor der ewigen Verdammnis zu retten. Denn es steht geschrieben: „Wir alle werden vor den Richterstuhl Christi treten, damit ein jeder empfange, gemäß dem, was er getan hat, sei es Gutes oder Böses". Weil ja auch die, wie es heißt, bei der heiligen Taufe geschlossenen Verträge und Abmachungen groß sind und die (dabei anwesenden) Zeugen Ehrfurcht einflößende Engel sind und (diese) nämlich zu jenem Zeitpunkt das Bekenntnis eintragen, das von uns bei der fürchterlichen Rückkunft des Herrn und Gottes, unseres Heilands Jesus Christus, am Tag der künftigen Vergeltung unabdingbar gefordert werden wird.

Wer zittert nun nicht vor jener großen und unbestechlichen Befragung, wenn wir nackt und bloß vor jenes schreckliche und unbeirrbare Gericht treten werden und von uns Rechenschaft für

2 (84 Joly; cf. p. 85, adn. 4) || 140 ἡμέρᾳ—ἀνταποδόσεως] cf. e. g. Is. 63, 4 || 142 γυμνοὶ καὶ τετραχηλισμένοι] cf. Heb. 4, 13

119 ὄψετε MM

μένων; τί λέγεις, ἄνθρωπε; χθὲς ἀπετάξω τῷ σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ καὶ τῷ Χριστῷ συνετάξω, νῦν δὲ θεραπευτὴς ἐγένου τοῦ διαβόλου; οὐ φοβῇ, οὐδὲ τρέμεις; πρὸς τίνα τὰς συνθήκας ἐποίησας; οὐκ ἤκουσας τὴν ἀπόφασιν τήν· «ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀνομίας», καὶ ὅτι · «ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ αὐτῶν οὐ σβέννυται», καὶ «δήσατε αὐτοῦ χεῖρας καὶ πόδας» καὶ ῥίψατε «εἰς τὸ σκότος τὸ ἐξώτερον»; τί ταῦτα περιφρονοῦμεν ὡς μὴ ἀκούοντες; τί τὸν καιρὸν τῆς μετανοίας ἀναβαλλόμεθα; ἱνατί οὐ φροντίζομεν τῆς ἡμῶν σωτηρίας ἕως καιρός; αὔριον ἥξει ἀπὸ τοῦ θανάτου τέλος, καὶ οὐκ ἔστιν ἐν τῷ ᾅδῃ μετάνοια οὐδὲ ἐπιστροφὴ καὶ ἐξομολόγησις, ἀλλὰ κάθειρξις διηνεκὴς καὶ ἀνταπόδοσις τῶν ἑκάστου πλημμελημάτων.

Εἴ τι οὖν ἐμοὶ πείθοισθε, τέκνα μου ἀγαπητὰ καὶ φίλοι καὶ ἀδελφοί, ἐπιστρέψατε καὶ ἐπίγνωτε διὰ τῆς μετανοίας καὶ ψυχικῆς κατανύξεως ἐν συντριβῇ καρδίας καὶ πνεύματι ταπεινώσεως τὸν Κύριον, ἵν᾽ οὕτω καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν κληρονόμοι γένοισθε, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς καὶ τὰς σωτηρίους αὐτοῦ φυλάξασιν ἐντολάς. καὶ ταῦτα μὲν οὕτως ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος, ἵνα δὲ καὶ ἐξ αὐτῶν τῶν ἔργων καὶ τῶν πράξεων λάβητε πληροφορίαν, ὅπως διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖ ἡ ἄφατος ἀγαθότης τοῦ Θεοῦ, καὶ δόξαν αὐτῷ καὶ εὐχαριστίαν ἀναπέμψητε πάντες.

Βλέπετε ἰδοὺ καὶ τὴν δηλωθεῖσαν Ἀμαραντίναν γνησίως καὶ ὁλοψύχως μετανοήσασαν καὶ διὰ τῆς καλῆς ἐξομολογήσεως προσελθοῦσαν Χριστῷ καὶ τὸ μοναχικὸν σχῆμα μεταμφιασαμένην καὶ τὴν τοῦ Χριστοῦ μεγαλοφώνως ἀνακηρύττουσαν δύναμιν καὶ εὐαγγελιζομένην τὰ νικητήρια καὶ τὸν ἐχθρὸν στηλιτεύουσάν τε καὶ καταισχύνουσαν καὶ θριαμβεύουσαν καὶ καταργοῦσαν καὶ ἀναθέματι καθυποβάλλουσαν καὶ αὐτὸν δὴ τὸν διάβολον καὶ τὰ ἔργα τῆς πονηρίας αὐτοῦ καὶ τοὺς ὁπωσδήποτε μεταχειριζομένους καὶ ἐργαζομένους αὐτά.

Διὸ δὴ καὶ ὡς προθεμένη ἀσπασιώτατα διὰ πάσης αὐτῆς τῆς ζωῆς κατὰ τὸ μοναχικὸν ἐπάγγελμα πολιτεύεσθαι καὶ θεοφιλῶς καὶ θεαρέστως

144—145 ἀπετάξω—συνετάξω] cf. preces pro catechumenis, Euchologium magnum 150—151 (ed. Rom.); cf. linn. 27sqq. documenti 119 huius editionis || 147 ἀποχωρεῖτε—ἀνομίας] Mt. 7, 23 (= Ps. 6, 9) || 148 ὁ σκώληξ—σβέννυται] Mc. 9, 48 (= Is. 66, 24) || 149 δήσατε—πόδας] Act. 21, 11 || 149—150 εἰς—ἐξώτερον] Mt. 8, 12 || 152—153 cf. Greg. Naz., Or. 16, 7: οὐκ ἔστιν ἐν ᾅδῃ τοῖς ἀπελθοῦσιν ἐξομολόγησις καὶ διόρθωσις (*PG* 35, 944 C 5—6) || 158—160 ἀγαθῶν—ἐντολάς]

unsere Taten gefordert werden wird? Was wirst Du sagen, Mensch? Gestern hast Du Satan und all seinen Werken widersagt und Dich Christus angeschlossen, nun aber bist Du zum Diener des Teufels geworden? Fürchtest Du Dich nicht, zitterst Du nicht? Mit wem hast Du die Verträge geschlossen? Hast Du nicht die Worte gehört: „Weg von mir, alle Ihr Übertreter des Gesetzes", und „ihr Wurm stirbt nicht und ihr Feuer erlischt nicht" und „bindet ihm Hände und Füße und werft ihn hinaus in die äußere Finsternis"? Was verachten wir dies, als ob wir es nicht hörten? Warum schieben wir die Zeit der Reue auf? Warum kümmern wir uns nicht um unser Heil, solange noch Zeit ist? Morgen kommt das Ende durch den Tod, und im Hades gibt es keine Reue, weder Umkehr noch Beichte, sondern dauerndes Gefängnis und Vergeltung der Vergehen eines jeden einzelnen.

Wenn Ihr Euch nun von mir überzeugen laßt, meine lieben Kinder und Freunde und Brüder, kehrt um und erkennt den Herrn durch Reue und Erschütterung der Seele in der Zerknirschung des Herzens und im Geiste der Demut, damit Ihr so auch zu Erben der verheißenen Güter werdet, die Gott denen bereitet hat, die ihn von Herzen geliebt und seine heilbringenden Gebote bewahrt haben. Und dies (geschieht) nun durch Gottes Gnade so, damit Ihr sowohl durch die Werke selbst als auch die Taten Gewißheit erlangt, daß die unsägliche Güte Gottes durch das Gegenteil das Gegenteil einrichtet, und Ihr alle ihn preist und ihm dankt.

Wie Ihr ja seht, hat auch die erwähnte Amarantina wahrhaft und aus ganzer Seele bereut und ist durch ihre gute Beichte zu Christus gegangen und hat das Nonnengewand angelegt. Sie verkündet nun laut Christi Stärke und verbreitet die Frohbotschaft des Sieges und prangert den Feind an und beschämt ihn; im Triumph vertreibt sie den Teufel selbst und die Werke seiner Bosheit und die, die diesen in irgendeiner Weise nachgehen und (seine Werke) betreiben, und unterwirft ihn und jene dem Anathema.

Daher wurde sie in ihrem innigsten Wunsch, sich ihr ganzes Leben lang gemäß dem monastischen Versprechen zu verhalten und

cf. 1 Cor. 2, 9; Joh. 14, 15; 1 Joh. 5, 2 (et al.) || 158 κληρονόμοι γένοισθε] cf. Tit. 3, 7 | ἃ ἡτοίμασεν ...] cf. Mt. 25, 34 || 161—162 διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖ] cf. commentarium ad linn. 81—82 huius documenti pertinens

146 φοβεῖ MM || 155 οὖν] οὐκ MM || 160 καὶ[2] om. MM || 161 πληροφορίαν] an πληροφορίας legendum?

βιοῦν καὶ τὴν σωτηρίαν ἑαυτῆς πραγματεύεσθαι προσεδέχθη παρὰ Θεοῦ τοῦ τὸ πλανώμενον ἐπιστρέφοντος καὶ τοὺς μετανοοῦντας προσδεχομένου καὶ μηδένα τῶν πρὸς | αὐτὸν ἐρχομένων ἔξω βάλλοντος. οὐδὲ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, ἐπεὶ καὶ οὐδέ ἐστιν ἁμαρτία ἡ νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· φησὶ δὲ καὶ ὁ θεῖος φωστὴρ καὶ μέγας τῆς οἰκουμένης διδάσκαλος ὁ Χρυσόστομος, ὅτι· «οὐδὲ πατὴρ φιλοστοργότατος οὕτως ἀγαπητικῶς ἐξέχεται τοῦ ἰδίου τέκνου, ὡς ὁ δημιουργὸς ἁπάντων καὶ πατήρ, ὁ Θεὸς ἡμῶν, τὴν τοῦ ἰδίου πλάσματος βούλεται σωτηρίαν».

Ταῦτα οὖν ὁρῶντες, ἀγαπητοί, δοξάσατε καὶ μεγαλύνατε τὰ τοῦ Θεοῦ θαυμάσια τοῦ ἐπὶ τὸ συμφέρον τὰ πάντα μετασκευάζοντος. «οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις» ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν Ἰησοῦ σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, οὗ καὶ ἡ χάρις διαφυλάξαι ὑμᾶς ἅπαντας ἀβλαβεῖς καὶ ψυχῇ καὶ σώματι καὶ ἀνωτέρους παντὸς ἀνιαροῦ συναντήματος πρεσβείαις τῆς πανυπεράγνου καὶ ὑπερευλογημένης δεσποίνης καὶ Θεομήτορος καὶ ἱκεσίαις πάντων τῶν ἁγίων. ἀμήν †. ||

175 τὸ πλανώμενον ἐπιστρέφοντος] cf. Mt. 18, 12—14 || 175—176 μετανοοῦντας προσδεχομένου] cf. Luc. 15, 2 || 176—177 οὐδὲ—αὐτὸν] cf. Ez. 18, 30—32 et Euchologium magnum 206 (ed. Rom.) (Ἀκολουθία τῶν ἐξομολογουμένων) || 180—182 locum Io. Chrys. non invenimus, sed voces (πατὴρ) φιλόστοργος et φιλοστοργία reperiuntur frequentissime in opere Io. Chrys. (invenimus 392 locos in TLG); forsitan opus Ps.-Chrysostomicum citavit V || 184—185 Rom. 5, 20

180 φιλοστοργότητος MM

181

Kallistos I. ernennt Exarchen und trägt ihnen die Disziplinierung der Priester in Konstantinopel auf.

V 47, f. 140ᵛ—141ʳ ⟨Dezember 1350⟩
MM I 306—308 (Nr. 135/1)[1] (vgl. δι' ἐνταλτηρίων δεσποτικῶν ...
PG 152, 1312—1314 γραμμάτων [Z. 2—3])

[1] Dem von MM edierten Text dürfte der mit der vorliegenden Urkunde fast identische Text auf f. 169ʳ—171ʳ zugrunde liegen (vgl. unten, Nr. 221).

gottliebend und gottgefällig zu leben und auf ihr eigenes Heil hinzuarbeiten, von Gott aufgenommen, der das verirrte (Schaf) zurückführt und die Reuigen aufnimmt und keinen, der zu ihm kommt, zurückweist. Er will nämlich nicht den Tod des Sünders, sondern seine Umkehr und sein Leben, da es auch keine Sünde gibt, die über die Güte Gottes siegt. So sagt auch der große Lehrer der Ökumene, Chrysostomos, der göttliche Erleuchter: „Kein noch so liebender Vater widmet sich so liebevoll seinem Kind, wie der Schöpfer von allem und Vater, unser Gott, das Heil seines Geschöpfes will".

Dies vor Augen, (meine) Lieben, rühmet und preiset Gottes Wunder, der alles zum Vorteil umgestaltet! „Denn wo die Sünde mächtig wurde, da ist die Gnade übergroß geworden", in Christus selbst, unserem Herrn und Gott, Jesus, mit dem Vater ohne Anfang und dem hochheiligen lebenspendenden Geist, dessen Gnade Euch alle durch die Vermittlung der überaus reinen und gebenedeiten Herrin und Gottesmutter und die Fürbitten aller Heiligen ohne Schaden an Seele und Leib und über jede üble Begegnung erhaben bewahren soll. Amen.

181

Überschrift (1—3). *Vermittlerfunktion des Priesters zwischen Gott und Mensch* (4—15). *Erhabenheit des Priesters* (16—39). *Pflicht des Priesters zu tugendhaftem Lebenswandel, um seiner Vorbildfunktion für das Volk gerecht zu werden* (40—59). *Auswahl von tugendsamen Priestern als Exarchen nach Stadtvierteln, die den Klerus von Konstantinopel beaufsichtigen* (60—68) *und ihm zu Respekt und Ansehen beim Volk verhelfen sollen* (68—73). *Verbot unsittlichen Lebenswandels für die Priester und Androhung der Absetzung bei Zuwiderhandeln* (74 bis 82).

DAR. Reg. 2319
MAZAL 356
(vgl. unten, PRK 221, Z. 1—82)

Erwähnte Urkunden und Gesetze:

a) kanonische Bestimmungen betreffend die Absetzung von Priestern wegen unwürdigen Verhaltens (vgl. etwa Kanones Nr. 42 und 54 der Apostel* [METZGER III 288, 178—179 und 296, 267—268]: Verbot des Würfelspiels, des Sich-Betrinkens sowie des Besuches von Wirtshäusern für Priester) (vgl. κατὰ τὴν κανονικὴν παρατήρησίν τε καὶ παρακέλευσιν [Z. 82]).

140r † Περὶ τῶν ἀποταχθέντων ἐξάρχων εἰς τοὺς ἐν Κωνσταντινουπόλει ἱερεῖς δι' ἐνταλτηρίων δεσποτικῶν τιμίων γραμμάτων †

† Τοὺς τὴν καθολικὴν τῶν ψυχῶν προστασίαν καὶ ποιμανσίαν πεπιστευμένους παρὰ Θεοῦ προσῆκόν ἐστιν ἐπιμελεῖσθαι καὶ παντοίαν εἰσφέρειν σπουδὴν κἀκείνους ἐπιζητεῖν, ἐξ ὧν ἂν ὡς ἀπό τινων ἀρχετύπων ἀκολούθως κατὰ μετάδοσιν ὁ τῶν ἁγιασμάτων φωτισμὸς ἐπαινετῶς ἐκ τῶν ἔργων τοῖς χρῄζουσι περιγίνοιτο. καταστάσεως γὰρ ὢν ὁ Θεὸς αἴτιος, καθά φησιν ὁ θεῖος ἀπόστολος, τὴν τάξιν κρατεῖν ἐπὶ πᾶσιν ἐθέσπισεν, ἥτις συνέχει καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια. τούτου γὰρ καλῶς τηρουμένου καὶ ἡμεῖς συνεργοῖς ἑκασταχοῦ χρώμεθα τὸ μέτρον ἑκάστου καὶ τὸν βαθμόν, ἐν οἷσπερ αὐτὸν ἡ τοῦ Θεοῦ χάρις ἐκάλεσε, δοκιμάζοντες καὶ οὕτω τὸ καλὸν σῶμα τῆς ἐκκλησίας, ὑπὲρ ἧς ὁ Χριστὸς τὸ ἴδιον αἷμα ἐξέχεεν — αὐτῆς γάρ ἐστι κεφαλή —, τῇ τούτου εὐδοκίᾳ εἰς μίαν ἁρμονίαν συνάγομεν.

Πρὸς τί δὴ ταῦτα ἡμῖν εἴρηται; ὡς ἡ τῆς ἱερωσύνης ἀξία καὶ τὸ θεῖον αὐτῆς σέμνωμα ὅπως | μὲν ὑπέρκειται πάσης τιμῆς, ὅπως δὲ καὶ ἀγγέλοις αὐτοῖς ἐστιν αἰδέσιμον, πάντες εἰσὶν εἰδότες οἱ τῶν θείων δηλαδὴ ναμάτων τῆς θεοπνεύστου γραφῆς μετ' ἐπιστήμης ἐμφορηθέντες. μόνοις γὰρ ἂν τοῖς τοῦ Θεοῦ ἀγγέλοις ἐπάξιον ἦν τὸ τοιοῦτον ἀξίωμα ὡς

4—82 cf. linn. 1—82 documenti 221 huius editionis, quo MM probabiliter usi sunt (folia 169r—171r documentum 221 continentia facilius legi possunt) || 8—9 cf. Heb. 5, 9 || 10 ἥτις συνέχει καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια] cf. linn. 85—86 documenti 2 || 13—14 cf. Lc. 22, 20 || 14 Eph. 5, 23

Über die Exarchen, die für die Priester in Konstantinopel durch ehrwürdige Dekrete des Herrn (Patriarchen) eingesetzt wurden

Die, denen der gesamte Schutz und die Sorge für die Seelen von Gott anvertraut ist, haben die Verpflichtung, mit Sorgfalt und jeglichem Eifer jene auszuforschen, von denen, wie von Urbildern ausgehend und daran anknüpfend, über den Weg der Weitergabe die Erleuchtung der Sakramente in lobenswerter Weise durch ihre Werke auf die Bedürftigen übergeht. Gott, der der Urheber des Zustandes ist, wie der heilige Apostel sagt, legte fest, daß über alle die Ordnung herrsche, die sowohl das Himmlische als auch das Irdische zusammenhält. Unter genauer Beachtung dieses (Gesetzes) verwenden auch wir überall Mitarbeiter und prüfen eines jeden Maß und Rang, in die Gottes Gnade ihn gerufen hat, und so fügen wir den edlen Leib der Kirche, für die Christus sein eigenes Blut vergossen hat — er ist nämlich ihr Haupt —, durch sein Wohlwollen zu *einem* (passenden) Ganzen zusammen.

Wozu aber haben wir das gesagt? Denn daß die Würde des Priestertums und seine göttliche Erhabenheit jede Ehre übertrifft und selbst den Engeln Scheu einflößt, wissen alle, die von den heiligen Wassern der von Gott inspirierten Schrift mit Wissen erfüllt wurden. Denn alleine die Engel Gottes wären dieses Amtes

7 post μετάδοσιν vocem θειοτέραν canc. V; cf. lin. 24 documenti 183 (μετάδοσιν θειοτέραν) || 10 ἥτις καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια συνέχει MM || 20 post τοιοῦτον vocem λειτούργημα canc. V

ἀληθῶς φέρον ἐκτύπωμα τοῦ Χριστοῦ. ἐπεὶ καὶ παρὰ τοῦ χριστωνύμου λαοῦ ὁ τὸ σχῆμα τοῦτο πεπιστευμένος καὶ ἀκραιφνὲς καὶ τέλειον συντηρῶν Θεὸς ἄντικρυς νομίζεται, ἅτε ἱερουργὸς τῆς ἀναιμάκτου θυσίας καὶ τάξιν φωτιστικὴν ἐπέχων κατὰ τὸν μέγαν Διονύσιον τὸν θεοφάντορα, ὡς καὶ τοῖς λοιποῖς ἀναλόγως ἔχειν αὐτὴν ὑφηγεῖσθαι, ἐπεὶ δὲ τὸ παρ' ἀγγέλων ἡμᾶς τὰ τῆς ἱερουργίας ταύτης μυστήρια δέχεσθαι προσύλους ὄντας οὐ δυνατὸν ἦν — μόλις γὰρ τὰ κατ' αἴσθησιν καὶ κατ' ὀφθαλμοὺς ὁρώμενα συνορᾶν ἔχομεν —, ὁ τῶν ἡμετέρων ἁπάντων μέγας προμηθεὺς καὶ οἰκονόμος, ὁ ἀφάτῳ συγκαταβάσει οὐρανόθεν κατελθεῖν εὐδοκήσας ἐπὶ τὴν ἀνθρωπίνην ἐσχατιὰν Κύριος ὁ Θεὸς ἡμῶν, πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς, διὰ τῶν καθ' ἡμᾶς σάρκα ἐνδεδυμένων ἀνθρώπων συγγενικῇ διαθέσει ἐδωρήσατο τὰ τῆς ἱερουργίας ἐπὶ σωτηρίᾳ θεῖα μυστήρια ἐκτελεῖσθαι, οὐ μὴν σαρκικῶς ἢ χαμερπῶς τε καὶ ἀνθρωπίνως, ἀλλ' ὑψηλῶς κατὰ τὴν τοῦ θεοπάτορος καὶ μεγάλου ἐν προφήταις καὶ βασιλεῦσι Δαυὶδ ῥῆσιν, τό· «ἱερεῖς ἐνδύσονται δικαιοσύνην», τουτέστι πᾶσαν ἀρετὴν μετ' ἀκριβείας καὶ ἀληθείας καὶ ἀγγελικῶς καὶ θείως καὶ ἡγνισμένως καὶ μετὰ καθαρότητος προσαρμοζούσης τοῖς τῷ Θεῷ ἱερᾶσθαι λαχοῦσι καὶ δοχεῖα οὖσιν αὐτοῦ.

Ἔνθέν τοι καὶ τῆς κρείττονος τυχόντες οἱ ἱερεῖς τάξεως, καθ' ὃν εἴρηται τρόπον, ὀφείλουσιν πάντως κοσμεῖν ἑαυτοὺς καὶ τοῖς τῶν ἀρετῶν ἔργοις, ἀπευθύνειν εἰς μίμησιν κατὰ τὸ ἐφικτὸν τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ καλοῦ ποιμένος, Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τὰ ἴδια πρόβατα καλοῦντος κατ' ὄνομα ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τὴν μέλλουσαν καὶ τοῖς δικαίοις ἀποκεκληρωμένην, καὶ ἀκολουθεῖν κατ' ἴχνος τοῖς θείοις αὐτοῦ διδάγμασι καὶ ταῖς ἐντολαῖς, ἀλλὰ μὴ ταῖς οὐ καλαῖς βιωτικαῖς περιστάσεσι καὶ τοῖς γηίνοις τούτοις καὶ προσκαίροις προστετηκότες χραίνεσθαι ἐντεῦθεν

---

23 τῆς ἀναιμάκτου θυσίας] cf. Greg. Naz., Or. 5, 29 (352, 20 Bernardi) || 24 Ps.-Dion. Ar., De eccl. hier. VI 5 (119, 9 Heil–Ritter); cf. ibid. V 7 (109, 14 Heil–Ritter) || 30 ἀνθρωπίνην ἐσχατιάν] cf. e. g. Ps.-Dion. Ar., De div. nom. I 4: φιλάνθρωπον δὲ διαφερόντως, ὅτι τοῖς καθ' ἡμᾶς πρὸς ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτοῦ ὑποστάσεων ἐκοινώνησεν, ἀνακαλουμένη πρὸς ἑαυτὴν καὶ ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιάν, ἐξ ἧς ἀρρήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη (113, 6—9 Suchla)

würdig, das ja wahrhaftig das Abbild Christi in sich trägt. Es gilt ja auch beim Christenvolk derjenige, dem dieses Kleid anvertraut wurde und der dieses auch völlig rein bewahrt, als Gott ganz ähnlich, da er der Priester des unblutigen Opfers ist und einen Rang der Erleuchtung innehat, gemäß den Worten des großen Dionysios, des Verkünders Gottes, so daß er (= der Priester) die übrigen (Menschen) in entsprechender Weise zu diesem (= dem Rang der Erleuchtung) hinführen kann. Zudem war es nicht möglich, daß wir, der Materie verhaftet, von den Engeln die Sakramente dieser heiligen Handlung empfangen — können wir doch kaum das mit den Augen sinnlich Wahrnehmbare schauen. Daher schenkte uns der große Vorsorger und Sachwalter in allen unseren Angelegenheiten, der Herr, unser Gott, der in unsagbarer Güte vom Himmel zum untersten Bereich der Menschen herabzusteigen geruhte, er, der reich an Erbarmen und Mitleid ist, durch Menschen, die wie wir in Fleisch gekleidet sind, aufgrund seiner verwandtschaftlichen Zuneigung die Ausführung der zum Heil führenden heiligen Sakramente des Priesteramtes; freilich nicht fleischlich oder in menschlich niedriger Art, sondern in erhabener Weise nach den Worten des Vorfahren Gottes und großen Propheten und Königs David: „Die Priester werden sich in Gerechtigkeit kleiden", das heißt in jede Tugend, vollends, wahrhaft, engelsgleich, göttlich und geläutert, und dies mit der Reinheit, wie sie denen gebührt, denen es übertragen wurde, Gott als Priester zu dienen und seine Gefäße zu sein.

Daher haben die Priester, weil sie diesen höheren Rang in der dargelegten Art innehaben, die Pflicht, sich selbst in jeder Hinsicht mit den Werken der Tugenden zu schmücken und sich in Nachahmung des ersten, großen Erzpriesters und guten Hirten, unseres Herrn Jesus Christus, soweit dies möglich ist, auszurichten, der seine Schafe (jedes) mit seinem Namen aus diesem Leben in das künftige, den Gerechten als Erbe beschiedene, ruft. Sie müssen seinen göttlichen Lehren und Geboten auf Schritt und Tritt folgen und dürfen nicht unedlem Lebenswandel und den irdischen und

---

|| 30—31 ὁ Θεὸς—ἐλέει] Eph. 2, 4 || 36 Ps. 131, 9 || 39 δοχεῖα] cf. lin. 7 documenti 183 || 44 τοῦ—κατ' ὄνομα] cf. Joh. 10, 3

---

36 οἱ ἱερεῖς σου ἐνδύσονται MM || 46 διδάγμασι] litt. δι supra lin. scripsit V || 47 βιωτικαῖς] vocem perperam iteratam canc. V

ἀληθῶς φέρον ἐκτύπωμα τοῦ Χριστοῦ. ἐπεὶ καὶ παρὰ τοῦ χριστωνύμου λαοῦ ὁ τὸ σχῆμα τοῦτο πεπιστευμένος καὶ ἀκραιφνὲς καὶ τέλειον συντηρῶν Θεὸς ἄντικρυς νομίζεται, ἅτε ἱερουργὸς τῆς ἀναιμάκτου θυσίας καὶ τάξιν φωτιστικὴν ἐπέχων κατὰ τὸν μέγαν Διονύσιον τὸν θεοφάντορα, ὡς καὶ τοῖς λοιποῖς ἀναλόγως ἔχειν αὐτὴν ὑφηγεῖσθαι, ἐπεὶ δὲ τὸ παρ' ἀγγέλων ἡμᾶς τὰ τῆς ἱερουργίας ταύτης μυστήρια δέχεσθαι προσύλους ὄντας οὐ δυνατὸν ἦν — μόλις γὰρ τὰ κατ' αἴσθησιν καὶ κατ' ὀφθαλμοὺς ὁρώμενα συνορᾶν ἔχομεν —, ὁ τῶν ἡμετέρων ἁπάντων μέγας προμηθεὺς καὶ οἰκονόμος, ὁ ἀφάτῳ συγκαταβάσει οὐρανόθεν κατελθεῖν εὐδοκήσας ἐπὶ τὴν ἀνθρωπίνην ἐσχατιὰν Κύριος ὁ Θεὸς ἡμῶν, πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς, διὰ τῶν καθ' ἡμᾶς σάρκα ἐνδεδυμένων ἀνθρώπων συγγενικῇ διαθέσει ἐδωρήσατο τὰ τῆς ἱερουργίας ἐπὶ σωτηρίᾳ θεῖα μυστήρια ἐκτελεῖσθαι, οὐ μὴν σαρκικῶς ἢ χαμερπῶς τε καὶ ἀνθρωπίνως, ἀλλ' ὑψηλῶς κατὰ τὴν τοῦ θεοπάτορος καὶ μεγάλου ἐν προφήταις καὶ βασιλεῦσι Δαυὶδ ῥῆσιν, τό· «ἱερεῖς ἐνδύσονται δικαιοσύνην», τουτέστι πᾶσαν ἀρετὴν μετ' ἀκριβείας καὶ ἀληθείας καὶ ἀγγελικῶς καὶ θείως καὶ ἡγνισμένως καὶ μετὰ καθαρότητος προσαρμοζούσης τοῖς τῷ Θεῷ ἱερᾶσθαι λαχοῦσι καὶ δοχεῖα οὖσιν αὐτοῦ.

Ἔνθέν τοι καὶ τῆς κρείττονος τυχόντες οἱ ἱερεῖς τάξεως, καθ' ὃν εἴρηται τρόπον, ὀφείλουσιν πάντως κοσμεῖν ἑαυτοὺς καὶ τοῖς τῶν ἀρετῶν ἔργοις, ἀπευθύνειν εἰς μίμησιν κατὰ τὸ ἐφικτὸν τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ καλοῦ ποιμένος, Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τὰ ἴδια πρόβατα καλοῦντος κατ' ὄνομα ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τὴν μέλλουσαν καὶ τοῖς δικαίοις ἀποκεκληρωμένην, καὶ ἀκολουθεῖν κατ' ἴχνος τοῖς θείοις αὐτοῦ διδάγμασι καὶ ταῖς ἐντολαῖς, ἀλλὰ μὴ ταῖς οὐ καλαῖς βιωτικαῖς περιστάσεσι καὶ τοῖς γηΐνοις τούτοις καὶ προσκαίροις προστετηκότες χραίνεσθαι ἐντεῦθεν

---

23 τῆς ἀναιμάκτου θυσίας] cf. Greg. Naz., Or. 5, 29 (352, 20 Bernardi) || 24 Ps.-Dion. Ar., De eccl. hier. VI 5 (119, 9 Heil–Ritter); cf. ibid. V 7 (109, 14 Heil–Ritter) || 30 ἀνθρωπίνην ἐσχατιάν] cf. e. g. Ps.-Dion. Ar., De div. nom. I 4: φιλάνθρωπον δὲ διαφερόντως, ὅτι τοῖς καθ' ἡμᾶς πρὸς ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτοῖς ὑποστάσεων ἐκοινώνησεν, ἀνακαλουμένη πρὸς ἑαυτὴν καὶ ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιάν, ἐξ ἧς ἀρρήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη (113, 6—9 Suchla) || 30—31 ὁ Θεὸς—ἐλέει] Eph. 2, 4 || 36 Ps. 131, 9 || 39 δοχεῖα] cf. lin. 7 documenti 183 || 44 τοῦ—κατ' ὄνομα] cf. Joh. 10, 3

36 οἱ ἱερεῖς σου ἐνδύσονται MM || 46 διδάγμασι] litt. δι supra lin. scripsit V || 47 βιωτικαῖς] vocem perperam iteratam canc. V

würdig, das ja wahrhaftig das Abbild Christi in sich trägt. Es gilt ja auch beim Christenvolk derjenige, dem dieses Kleid anvertraut wurde und der dieses auch völlig rein bewahrt, als Gott ganz ähnlich, da er der Priester des unblutigen Opfers ist und einen Rang der Erleuchtung innehat, gemäß den Worten des großen Dionysios, des Verkünders Gottes, so daß er (= der Priester) die übrigen (Menschen) in entsprechender Weise zu diesem (= dem Rang der Erleuchtung) hinführen kann. Zudem war es nicht möglich, daß wir, der Materie verhaftet, von den Engeln die Sakramente dieser heiligen Handlung empfangen — können wir doch kaum das mit den Augen sinnlich Wahrnehmbare schauen. Daher schenkte uns der große Vorsorger und Sachwalter in allen unseren Angelegenheiten, der Herr, unser Gott, der in unsagbarer Güte vom Himmel zum untersten Bereich der Menschen herabzusteigen geruhte, er, der reich an Erbarmen und Mitleid ist, durch Menschen, die wie wir in Fleisch gekleidet sind, aufgrund seiner verwandtschaftlichen Zuneigung die Ausführung der zum Heil führenden heiligen Sakramente des Priesteramtes; freilich nicht fleischlich oder in menschlich niedriger Art, sondern in erhabener Weise nach den Worten des Vorfahren Gottes und großen Propheten und Königs David: „Die Priester werden sich in Gerechtigkeit kleiden", das heißt in jede Tugend, vollends, wahrhaft, engelsgleich, göttlich und geläutert, und dies mit der Reinheit, wie sie denen gebührt, denen es übertragen wurde, Gott als Priester zu dienen und seine Gefäße zu sein.

Daher haben die Priester, weil sie diesen höheren Rang in der dargelegten Art innehaben, die Pflicht, sich selbst in jeder Hinsicht mit den Werken der Tugenden zu schmücken und sich in Nachahmung des ersten, großen Erzpriesters und guten Hirten, unseres Herrn Jesus Christus, soweit dies möglich ist, auszurichten, der seine Schafe (jedes) mit seinem Namen aus diesem Leben in das künftige, den Gerechten als Erbe beschiedene, ruft. Sie müssen seinen göttlichen Lehren und Geboten auf Schritt und Tritt folgen und dürfen nicht unedlem Lebenswandel und den irdischen und

καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἀμβλύνειν καὶ οὕτω βίον αἱρεῖσθαι ἀπᾴδοντα καὶ μὴ συμφωνοῦντα τῷ ἱερατικῷ σχήματι, ὡς τῇ αἰτίᾳ ταύτῃ συμβαίνειν τὴν μὲν γλῶσσαν ἐπιρρεπῆ πρὸς τὸ ψεῦδος ἔχειν αὐτούς, φιλαργύρους δὲ φαίνεσθαι καὶ οἰνοπότας, πλεονεξίαις χαίροντας καὶ φιλοκερδεῖς ἀσχημό|νως καὶ τὸ μέγα τῆς ἱερωσύνης ὕψος, φεῦ, κατασπῶντας εἰς ἐμπορίαν προδήλως κατεγνωσμένην, ὀλίγα τοῦ κατὰ ψυχὴν ἐντὸς ἀνθρώπου φροντίζοντας, τὸν δ' ἔξω καὶ σωματικὸν θεραπεύειν προθυμουμένους, ὡς γίνεσθαι τὸν ἱερέα ὡς τὸν λαόν. μόλις γὰρ ἂν τῷ περιόντι τῶν καλῶν ἔργων δυνηθεῖεν οἱ ἱερεῖς ἕλκειν εἰς μίμησιν τοὺς εἰς αὐτοὺς βλέποντας· ἐὰν δὲ φαῦλον ἀρχέτυπον φαίνωνται καταγινωσκόμενοι, πόσης ἂν εἴη τοῦτο τῆς κατακρίσεως ἄξιον;

Διὰ ταῦτα διασκεψαμένη ἡ μετριότης ἡμῶν ἀσφάλειαν τὴν πρέπουσαν ἐποιήσατο καὶ τῆς τῶν ἱερέων διορθώσεως καὶ ἐξελέξατο ἀπὸ τῶν ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει τοιούτων ἱερέων τοὺς μεμαρτυρημένους ἀντιποιεῖσθαι μάλιστα βίου θεοφιλοῦς καὶ κρείττονας καὶ εὐλαβεστέρους καὶ κατέστησε καθεκάστην γειτονίαν εἰς ἐξάρχους τῶν λοιπῶν ἱερέων ἐπὶ τῷ κατὰ τὴν πρὸς αὐτοὺς ἀνάθεσιν μετὰ πάσης προσοχῆς καὶ συντηρήσεως ἐπιβλέπειν αὐτοὺς καὶ διδάσκειν καὶ *141r* παραινεῖν, ὅσα εἰς σύστασιν καὶ κόσμον || ἀφορῶσιν αὐτῶν καὶ ἀσφάλειαν τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς ἂν ἐντεῦθεν τὸ τίμιον καὶ αἰδέσιμον ἔχοντες οἴκοθεν τῆς πρεπούσης ἀξιῶνται εὐλαβείας καὶ παρὰ τοῦ κοινοῦ δημώδους λαοῦ καὶ ἔχωσιν οὗτοι πρὸς αὐτοὺς τὸ σέβας προσερχόμενοι καὶ ζητοῦντες τὸν ἁγιασμὸν παρ' αὐτῶν μετ' αἰδοῦς τὲ καὶ εὐπειθείας καὶ οὐδὲν καθυβρίζηται τὸ μέγα τοῦτο τῆς ἐκκλησίας κεφάλαιον διὰ πολιτείας φαύλης, ὡς εἴρηται.

Γινωσκέτωσαν γὰρ εἰς βεβαίαν καὶ ἀναμφίβολον πληροφορίαν, ὅτι, ὃς ἂν ἀπὸ τουνῦν εὑρεθῇ τῶν ἱερατικῶς ἐξυπηρετούντων Θεῷ ἀναστρεφόμενος μετὰ λαϊκῶν ἐν πότοις ἢ ἀσυνέτως περιπατῶν ἢ μάχαις καὶ ταραχαῖς καὶ στάσεσι χαίρων ἢ ἐμπορίαν ποιούμενος κατεγνωσμένην

---

49 τὸν τῆς ψυχῆς ὀφθαλμὸν] cf. e. g. Eph. 1, 18 (ὀφθαλμοὶ τῆς καρδίας) || 54—55 τοῦ ... ἐντὸς ἀνθρώπου ..., τὸν δ' ἔξω] cf. Greg. Naz., Ep. 101 (theol. I), 19 (44, 8—10 GALLAY–JOURJON)

---

56 post θεραπεύειν vocem μόνον suppl. MM | ἱερέα] litt. έ ex corr. V || 61 post διορθώσεως voces Χριστοῦ χάριτι suppl. MM || 72 καθυβρίζηται scripsimus cum

vergänglichen Dingen anhängen und sich dadurch beflecken, das Auge der Seele trüben und dergestalt ein Leben wählen, das dem Kleid eines Priesters gänzlich widerspricht, so daß aufgrund dessen ihre Zunge zur Lüge neigt, sie geldgierig sind und dem Wein zusprechen, sich an Habgier erfreuen, schamlos gewinnsüchtig sind und das erhabene Priestertum, ach, zu einem deutlich verpönten Geschäft herabwürdigen, wobei sie sich wenig um den seelischen, inneren Menschen kümmern, sondern (vielmehr) den äußeren, körperlichen pflegend umsorgen, so daß der Priester dem Laienvolk gleich wird. Denn nur mit Mühe könnten wohl die Priester durch ihr Mehr an guten Werken diejenigen, die auf sie sehen, zur Nachahmung bewegen. Wenn sie sich aber als ein schlechtes und verpöntes Vorbild zeigen, wie schwerer Verurteilung erwiesen sie sich da würdig?

Deshalb hat unsere Bescheidenheit (diesbezüglich) in (synodaler) Beratung die gebührenden Maßnahmen auch für die Besserung der Priester sichergestellt: Sie hat von den Priestern in der gottgepriesenen Stadt Konstantinopel diejenigen ausgewählt, deren besondere Bemühung um ein gottgefälliges Leben verbürgt ist und die die besten und frömmsten sind, und sie in den jeweiligen Stadtvierteln als Exarchen der übrigen Priester eingesetzt, damit sie jene gemäß ihrem Auftrag in allem, was auf ihre und des kirchlichen Zustandes Unterstützung, Ordnung und Sicherheit abzielt, mit aller Sorgfalt und Kontrolle beaufsichtigen, belehren und ermahnen. Dadurch sollen sie von Haus aus ehr- und achtbar sein und so der gebührenden Ehrerbietung auch von seiten der Masse des einfachen Volkes gewürdigt werden, und diese (einfachen Leute) sollen ihnen mit Ehrfurcht begegnen, wenn sie zu ihnen kommen und ehrerbietig und gehorsam von ihnen die Segnung erbitten. So soll verhindert werden, daß dieses hohe Haupt der Kirche, wie gesagt, durch schlechten Lebenswandel in Verruf gerät.

Sie sollen nämlich zu ihrer verbindlichen und unzweifelhaften Kenntnis wissen, daß, wer auch immer von denen, die Gott als Priester dienen, in Zukunft sich mit Laien herumtreibt, sei es, daß er gemeinsam mit ihnen trinkt oder sich unverständig benimmt oder sich an Raufereien, Unruhen und Ausschreitungen vergnügt

---

MM et documento 221 (linn. 70—71); καθυβρίζεται V || 76 πότοις] συμποσίοις MM | post ἀσυνέτως voces καὶ ἀφυλάκτως (secundum textum lin. 75 documenti 221) suppl. MM

καὶ ἀπείργουσαν τὸ ἱερατικὸν ἀξίωμα ἢ ὁπωσδήποτε ἀπελεγχθείη διάγων παρὰ τὴν προσαρμόζουσαν ἱερεῦσιν κατάστασιν καὶ ἀκρίβειαν, ἐκπεσεῖται αὐτίκα τῆς ἀξίας καὶ δόξης τοῦ σεμνώματος τοῦ ἱερατικοῦ καὶ τοῦ χοροῦ τῶν ἱερέων ἀποτμηθήσεται καὶ μακρὰν ἀπορριφήσεται ὡς ἀνάξιος κατὰ τὴν κανονικὴν παρατήρησίν τε καὶ παρακέλευσιν †.

79 ἱερεῦσιν | ἱερατικὴν MM

182

Die von Kallistos I. eingesetzten Exarchen versprechen, dessen Anweisungen zu beachten.

V 47, f. 141^{r}	μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος δʹ (Z. 15)
MM I 308—309 (Nr. 135/2)	Dezember ⟨1350⟩
PG 152, 1314	(vgl. ὑπόσχεσις [Z. 1]
(vgl. Dar. Reg. 2319)	und ὑπισχνούμεθα ... ἐγγράφως [Z. 7])

Erwähnte Urkunden und Gesetze:

a) Einsetzung von Exarchen durch den Patriarchen ⟨Kallistos I.; Dezember 1350; Dar. Reg. 2319⟩ (= vorangehende Nr. 181) (vgl. τὰς ἀνωτέρω καταμέρος εἰρημένας παραινέσεις καὶ διδασκαλίας [Z. 4—5]; διατάξεις καὶ ὑποτυπώσεις [Z. 8]).

† Ὑπόσχεσις τῶν αὐτῶν †

† Ἐπεὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, τῆς τῶν ἁπάντων σωτηρίας καὶ εὐταξίας κηδόμενος ὡς ἀπὸ | Θεοῦ καταπεμφθεὶς εἰς κοινὸν φωτισμὸν καὶ ἁγιασμὸν τὰς ἀνωτέρω καταμέρος εἰρημένας παραινέσεις καὶ διδασκαλίας παρηγγυήσατο, ὑπὸ τοῦ παναγίου πνεύματος κινούμενός τε καὶ ὁδηγούμενος, ἃς καὶ ὡς ἀπ᾽ αὐτοῦ τοῦ Θεοῦ ἐδεξάμεθα ὁλοψύχως, ὑπισχνούμεθα ἤδη ἐγγράφως, ἵνα φυλάττωμεν τὰς τοιαύτας διατάξεις καὶ ὑποτυπώσεις ἀπαραποιήτους τὲ καὶ ἀπαραθραύστους καὶ συντηρώμεθα κατὰ πάντα ἐπὶ τῇ τούτων ἀσφαλείᾳ καὶ ἐκπληρώσει.

Ἐὰν δέ, ὅπερ ἀπευχόμεθα, ἀπελεγχθῶμεν ἐπὶ παραβάσει καὶ ἀθετήσει αὐτῶν, καταδικαζώμεθα καὶ ἐκπίπτωμεν ἀσυμπαθῶς καὶ τῆς ἱερω-

9 ἀπαραθαύστους V || 11 ἀπευχώμεθα V, ἀπευχόμεθα scripsimus cum MM

oder verbotenen und mit dem Priesteramt unvereinbaren Handel treibt oder sonst irgendwie überführt wird, durch seinen Lebenswandel gegen die strenge Ordnung, wie sie sich für Priester gehört, zu verstoßen, unverzüglich Amt und Würde eines Priesters verliert und aus dem Kreis der Priester ausgeschlossen und verstoßen wird, da er gemäß Beachtung und Anordnung der Kanones (hierfür) unwürdig ist.

182

Überschrift (1). *Versprechen der Exarchen, die zuvor genannten Ermahnungen des Patriarchen zu achten* (2—10). *Folgen des Zuwiderhandelns* (11—14). *Datum* (15).

Versprechen derselben (Exarchen)

Da unser hochheiligster Herr, der ökumenische Patriarch, in seiner Sorge um das Heil aller und die rechte Ordnung, zur allgemeinen Erleuchtung und Heiligung von Gott gesandt, die oben im einzelnen dargelegten Ermahnungen und Belehrungen, vom hochheiligen Geist (dazu) bewegt und geführt, auftrug, die wir auch wie von Gott selbst (kommend) mit der ganzen Seele aufnahmen, versprechen wir nunmehr schriftlich, diese Bestimmungen und Vorschriften unverfälscht und unverbrüchlich zu bewahren und uns in jeder Hinsicht an deren Sicherung und Erfüllung zu halten.

Wenn wir aber, was nicht geschehen möge, ihrer Übertretung und Mißachtung überführt werden sollten, so sollen wir verurteilt

σύνης ἡμῶν καὶ εὐθυνώμεθα ὡς τὰς ἐκκλησιαστικὰς καὶ ἀποστολικὰς παραδόσεις περιφρονοῦντες.

† Μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος δʹ †.

183

Kallistos I. setzt Beichtväter für Konstantinopel ein.

V 47, f. 141r—142r ⟨Dezember 1350 (?)⟩
MM I 309—312 (Nr. 135/3) (vgl. ἐκλέξασθαι δεῖν ἔγνω
PG 152, 1314—1316 [Z. 71]; vgl. auch διὰ ...
Dar. Reg. 2320 δεσποτικῶν ... ἐνταλτηρίων
Mazal 357 [Z. 2—3])

Περὶ τῶν ἐκλεγέντων πνευματικῶν διὰ τοιούτων δεσποτικῶν τιμίων ἐνταλτηρίων

† Ἡ τοῦ φιλαγάθου Θεοῦ ἡμῶν περὶ τὸ ἡμέτερον γένος κηδεμονία σοφῶς τὰ πάντα διοικονομουμένη καὶ διευθύνουσα τὴν τῆς πνευματικῆς χάριτος ἐπιστήμην ἀρχῆθεν τοῖς τὴν ποιμαντικὴν καὶ διδασκαλικὴν ἀξίαν λαχοῦσιν ἱεράρχαις ἐπέτρεψεν, εἰς δοχεῖον τοῦ ἁγίου πνεύματος παρασκευάσασιν ἑαυτούς, ἀλλ' ἡ μέριμνα καὶ φροντὶς τῶν ἐκκλησιῶν καὶ ἡ μετὰ σπουδῆς ἐπεκδίκησις τῶν ἀδικουμένων καὶ αἱ τῶν χηρῶν καὶ ὀρφανῶν ἐποφειλόμεναι ἀντιλήψεις καὶ προστασίαι, προσέτι γε μὴν καὶ τὰ παρὰ τοῦ κοινοῦ ἐχθροῦ τῷ ἀνθρωπίνῳ γένει τῶν αἱρέσεων κύματα θαλάσσης δίκην ὑπ' ἀνέμων τραχυνομένης κατὰ τῆς ὀρθοδόξου πίστεως ἐγειρόμενά τε καὶ ἐπικλύζοντα, στασιαστῶν καὶ χαιρεκάκων ἀνθρώπων ὑπὸ τοῦ πονηροῦ ἐνεργουμένων κατὰ διαφόρους καιρούς τε καὶ χρόνους ἐπανισταμένων ἀφρόνως, οὐκ ἐφῆκε τούτοις βοηθεῖν κατὰ σκοπὸν καὶ θεραπεύειν ἐπιστημονικῶς τοὺς βέλει τῆς ἁμαρτίας πεπληγμένους κἀντεῦθεν ποικίλοις καὶ διαφόροις τραύμασι καταστίκτους γεγενημένους καὶ πολλῶν τῶν φαρμάκων καὶ τῶν ἰάσεων δεομένους.

7 δοχεῖον τοῦ ἁγίου πνεύματος] cf. e. g. Greg. Naz., Or. 32, 11 (108, 16 Moreschini–Gallay) vel Const. apost. V 1, 2 (II 202, 9—10 Metzger)

werden und ohne Mitleid auch unseres Priesteramtes verlustig gehen und als Verächter der kirchlichen und apostolischen Überlieferungen zur Verantwortung gezogen werden.
Im Dezember der 4. Indiktion.

183

Überschrift (1—3). *Durch die Machenschaften des Bösen werden die Hierarchen an der Sorge für die Kirche gehindert* (4—18). *Die Abnahme der Beichte durch Beichtväter ein wirksames Mittel im Kampf gegen das Böse* (19—51). *Tatkraft und Milde der Beichtväter* (52—66). *Besondere Würde, aber auch Verantwortung der Beichtväter und Ermahnung des Patriarchen, sich dieser Verantwortung würdig zu erweisen* (66—101).

Wahl von Beichtvätern durch die gegenständlichen ehrwürdigen Dekrete des Herrn (Patriarchen)

Gott, der das Gute liebt, hat in seiner Fürsorge für unser Geschlecht, die alles weise verwaltet und lenkt, das Wissen um die geistliche Gnade ursprünglich den Hierarchen anvertraut, die die Würde eines Hirten und Lehrers erhalten und sich selbst zum Gefäß des Heiligen Geistes gemacht haben. Aber die übergroße Sorge um die Kirchen und das eifrige Eintreten für jene, die Unrecht erleiden, weiters die den Witwen und Waisen gebührende Hilfe und deren Schutz und zusätzlich die vom gemeinsamen Feind des Menschengeschlechtes (verursachten) Wogen der Häresien, die sich wie ein vom Sturm aufgewühltes Meer gegen den rechten Glauben erheben und ihn überschwemmen, wobei Aufrührer und sich am Schaden erfreuende Menschen, durch den Bösen dazu bewegt, zu verschiedenen Anlässen und Zeiten sich unbesonnen erheben, erlaubten diesen (= den Hierarchen) nicht, zielstrebig denen zu helfen und kundig die zu behandeln, die vom Geschoß der Sünde getroffen und dadurch mit mannigfaltigen und unterschiedlichen Wunden bedeckt sind und vieler Arzneien und Heilmethoden bedürfen.

σύνης ἡμῶν καὶ εὐθυνώμεθα ὡς τὰς ἐκκλησιαστικὰς καὶ ἀποστολικὰς παραδόσεις περιφρονοῦντες.

† Μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος δ' †.

183

Kallistos I. setzt Beichtväter für Konstantinopel ein.

V 47, f. 141r—142r
MM I 309—312 (Nr. 135/3)
PG 152, 1314—1316
Dar. Reg. 2320
Mazal 357

⟨Dezember 1350 (?)⟩
(vgl. ἐκλέξασθαι δεῖν ἔγνω [Z. 71]; vgl. auch διὰ ... δεσποτικῶν ... ἐνταλτηρίων [Z. 2—3])

Περὶ τῶν ἐκλεγέντων πνευματικῶν
διὰ τοιούτων δεσποτικῶν
τιμίων ἐνταλτηρίων

† Ἡ τοῦ φιλαγάθου Θεοῦ ἡμῶν περὶ τὸ ἡμέτερον γένος κηδεμονία σοφῶς τὰ πάντα διοικονομουμένη καὶ διευθύνουσα τὴν τῆς πνευματικῆς χάριτος ἐπιστήμην ἀρχῆθεν τοῖς τὴν ποιμαντικὴν καὶ διδασκαλικὴν ἀξίαν λαχοῦσιν ἱεράρχαις ἐπέτρεψεν, εἰς δοχεῖον τοῦ ἁγίου πνεύματος παρασκευάσασιν ἑαυτούς, ἀλλ' ἡ μέριμνα καὶ φροντὶς τῶν ἐκκλησιῶν καὶ ἡ μετὰ σπουδῆς ἐπεκδίκησις τῶν ἀδικουμένων καὶ αἱ τῶν χηρῶν καὶ ὀρφανῶν ἐποφειλόμεναι ἀντιλήψεις καὶ προστασίαι, προσέτι γε μὴν καὶ τὰ παρὰ τοῦ κοινοῦ ἐχθροῦ τῷ ἀνθρωπίνῳ γένει τῶν αἱρέσεων κύματα θαλάσσης δίκην ὑπ' ἀνέμων τραχυνομένης κατὰ τῆς ὀρθοδόξου πίστεως ἐγειρόμενά τε καὶ ἐπικλύζοντα, στασιαστῶν καὶ χαιρεκάκων ἀνθρώπων ὑπὸ τοῦ πονηροῦ ἐνεργουμένων κατὰ διαφόρους καιρούς τε καὶ χρόνους ἐπανισταμένων ἀφρόνως, οὐκ ἐφῆκε τούτοις βοηθεῖν κατὰ σκοπὸν καὶ θεραπεύειν ἐπιστημονικῶς τοὺς βέλει τῆς ἁμαρτίας πεπληγμένους κἀντεῦθεν ποικίλοις καὶ διαφόροις τραύμασι καταστίκτους γεγενημένους καὶ πολλῶν τῶν φαρμάκων καὶ τῶν ἰάσεων δεομένους.

7 δοχεῖον τοῦ ἁγίου πνεύματος] cf. e. g. Greg. Naz., Or. 32, 11 (108, 16 Moreschini–Gallay) vel Const. apost. V 1, 2 (II 202, 9—10 Metzger)

werden und ohne Mitleid auch unseres Priesteramtes verlustig gehen und als Verächter der kirchlichen und apostolischen Überlieferungen zur Verantwortung gezogen werden.

Im Dezember der 4. Indiktion.

183

Überschrift (1—3). *Durch die Machenschaften des Bösen werden die Hierarchen an der Sorge für die Kirche gehindert* (4—18). *Die Abnahme der Beichte durch Beichtväter ein wirksames Mittel im Kampf gegen das Böse* (19—51). *Tatkraft und Milde der Beichtväter* (52—66). *Besondere Würde, aber auch Verantwortung der Beichtväter und Ermahnung des Patriarchen, sich dieser Verantwortung würdig zu erweisen* (66—101).

Wahl von Beichtvätern durch die
gegenständlichen ehrwürdigen Dekrete
des Herrn (Patriarchen)

Gott, der das Gute liebt, hat in seiner Fürsorge für unser Geschlecht, die alles weise verwaltet und lenkt, das Wissen um die geistliche Gnade ursprünglich den Hierarchen anvertraut, die die Würde eines Hirten und Lehrers erhalten und sich selbst zum Gefäß des Heiligen Geistes gemacht haben. Aber die übergroße Sorge um die Kirchen und das eifrige Eintreten für jene, die Unrecht erleiden, weiters die den Witwen und Waisen gebührende Hilfe und deren Schutz und zusätzlich die vom gemeinsamen Feind des Menschengeschlechtes (verursachten) Wogen der Häresien, die sich wie ein vom Sturm aufgewühltes Meer gegen den rechten Glauben erheben und ihn überschwemmen, wobei Aufrührer und sich am Schaden erfreuende Menschen, durch den Bösen dazu bewegt, zu verschiedenen Anlässen und Zeiten sich unbesonnen erheben, erlaubten diesen (= den Hierarchen) nicht, zielstrebig denen zu helfen und kundig die zu behandeln, die vom Geschoß der Sünde getroffen und dadurch mit mannigfaltigen und unterschiedlichen Wunden bedeckt sind und vieler Arzneien und Heilmethoden bedürfen.

Διατοῦτο τὸ τῆς πνευματικῆς ταύτης διακονίας λειτούργημα τὸ κατ' ἐκείνου καιροῦ τοῖς ἱερατικῶς Θεῷ ἐξυπηρετουμένοις, κεκαθαρμένοις οὖσι καὶ ἀρετῆς καὶ βίου θεοφιλοῦς ἀντιποιουμένοις καὶ εὖ μάλα πεπειραμένοις ψυχῶν προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν παρὰ τῶν τοιούτων προστατῶν καὶ πνευματοφόρων πατέρων | καὶ διδασκάλων ἀνετέθη ὡς εἰκὸς κατὰ μετάδοσιν θειοτέραν. ἦν οὖν τοῦθ' οὕτω καλῶς καὶ θεαρέστως προβαῖνον τὲ καὶ γινόμενον· ἐπεὶ δὲ ταῖς κατὰ μικρὸν ἐπηρείαις τὰ τῆς θεοφιλοῦς ταύτης ἐσβέννυτο καταστάσεως καὶ ὁ τοῦ κόσμου ἄρχων, ἅτε δὴ τῶν ζιζανίων σπορεύς, οὐκ ἐπαύετο χρώμενος ταῖς κακίσταις αὐτοῦ μεθοδείαις καὶ μηχαναῖς εἰς ἐξαπάτην καὶ ἐξουθενισμὸν καὶ ἀνδραποδισμὸν τῶν ψυχῶν, ἵνα μὴ κατακαυχήση-
141r ται ὁ ἐχθρὸς καὶ καθυβρίσῃ τὸν ἐπαινετὸν τοῦτον || λιμένα τῆς σωτηρίας ἡμῶν, οἱ παρὰ τοῦ θείου πνεύματος τυπωθέντες καὶ ἐλλαμφθέντες τοιοῦτοι θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι τῇ ἐνούσῃ τούτοις πνευματικῇ καὶ τελειοποιῷ σοφίᾳ καὶ χάριτι σοφῶς ἄγαν καὶ εὐαρμόστως ἀντιτεχνώμενοι συναιρομένου Θεοῦ μετὰ δοκιμασίας τῆς προσηκούσης ἐκλέγονται καὶ ἀνατιθέασι τὸ τοῖς Χριστιανοῖς περισπούδαστον καὶ κατὰ ψυχὴν λυσιτελέστατον ἔργον τοῦτο τοῖς τὸν μονήρη βίον ἐπανῃρημένοις καὶ ἱερωσύνης ἀξιώματι κοσμηθεῖσι καὶ χάριτος θείας πεπληρωμένοις καὶ τῷ τοῦ παναγίου πνεύματος φωτισμῷ πεῖραν καὶ εἴδησιν ἀκριβῆ κεκτημένοις, ὥστε δὴ θεραπεῦσαι τοὺς ἰχῶρας καὶ τὰ ἕλκη καὶ καύσεσι καὶ τομαῖς χρῆσθαι εἰς τὰ σεσηπότα καὶ τοὺς ἀπεγνωκότας τῷ βάρει τῆς ἁμαρτίας ἀναλαμβάνειν τὲ καὶ κουφίζειν τῷ τῆς μετανοίας πτερῷ καὶ τὸν μὲν διεγείρειν ἐπὶ τὰ κρείττονα, τὸν δὲ νουθετεῖν, τὸν δὲ κατάρδειν ψυχωφελῶς ἀπὸ τοῦ θείου νάματος τῶν θεοπνεύστων γραφῶν, ἕτερον παρακαλεῖν, ἄλλον οἰκονομικῶς ἀναψύχειν καὶ ἁπλῶς «τοῖς πᾶσι τὰ πάντα» γίνεσθαι κατὰ τὸν μέγαν ἀπόστολον, ἵνα τοὺς πάντας κερδήσωσι καὶ Θεῷ οἰκειώσωσι, τοῦ βάρους τῶν διανοιῶν μετ' ἐρεύνης ἀφικνούμενοι τῶν ἐξαγορευομένων καὶ τὰς ἐνεργείας διασκοπούμενοι καὶ κατάλληλα κατὰ τὴν τῶν προσώπων ποιότητα ἐπιτιθέντες τὰ φάρμακα, προσευχόμενοι μὲν διηνεκῶς καὶ ἀγρυπνοῦντες ὑπὲρ τῶν ἁμαρτανόντων καὶ πόρρω τοῦ Θεοῦ ἑστηκότων, τοῦτο δὲ μόνον ἔχοντες τρυφήν, τὴν τῶν ἁμαρτωλῶν ἐπιστροφὴν καὶ μετάνοιαν.

---

27 ὁ τοῦ κόσμου ἄρχων] Joh. 12, 31 | τῶν ζιζανίων σπορεύς] cf. Mt. 13, 25 || 44—45 1 Cor. 9, 22

---

19 post λειτούργημα voces καὶ πολλῶν τῶν φαρμάκων canc. V || 20 ἱερατικῶς ex corr. V | κεκαθαρμένοις] litt. κε ex και corr. V; post κεκαθαρμένοις litt. ἀρ (ex ἀρετῆς) canc. V || 46 ἀφικνούμενοι] litt. ἀ ex ἐ corr. V || 47 ἐξαγορευμένων MM

Deshalb wurde das Amt dieses geistlichen Dienstes damals von ebendiesen Vorstehern, den den Geist in sich tragenden Vätern und Lehrern, denjenigen gemäß der Weitergabe durch Gott, wie es sich gehört, anvertraut, die Gott als Priester dienen, da sie geläutert sind, sich der Tugend und eines gottgeliebten Lebens befleißigen und besonders gut erfahren darin sind, Seelen zu leiten und sie zum Heil zu führen. So war dies nun einem guten und gottgefälligen Ablauf zugeführt. Als aber allmählich durch Störungen dieser gottgeliebte Zustand erlosch und der „Fürst der Welt", der wahrhafte Sämann des Unkrauts, nicht abließ von seinen übelsten Ränken und Hinterhältigkeiten zur Täuschung, Vernichtung und Versklavung der Seelen, da haben diese unsere vom Geiste Gottes geprägten und erleuchteten gotterfüllten Väter und Lehrer, damit der Feind nur ja nicht prahlen und diesen löblichen Hafen unseres Heiles beleidigen könne, in der ihnen innewohnenden geistlichen und vervollkommnenden Weisheit und Gnade überaus weise und passend Mittel dagegen ersonnen, indem sie mit der Hilfe Gottes unter gebührender Prüfung die Auswahl treffen und dieses für die Christen wichtige und für die Seele überaus förderliche Werk denjenigen übertragen, die das Mönchsleben auf sich genommen haben, mit der Würde des Priestertums geschmückt, von der Gnade Gottes erfüllt sind und durch die Erleuchtung des hochheiligen Geistes Erfahrung und genaues Wissen besitzen, um die eitrigen Geschwüre zu behandeln, Brenneisen und Messer an den verfaulten Teilen anzuwenden, die durch die Last der Sünde Verzweifelten aufzuheben und durch den Flügel der Buße Erleichterung zu bringen, den einen zum Besseren zu ermuntern, den anderen zu ermahnen, den dritten zum Nutzen seiner Seele aus dem göttlichen Quell der von Gott inspirierten Schriften zu benetzen, einen anderen wieder zu trösten und einen weiteren durch kluge Leitung zu erfrischen und einfach nach den Worten des großen Apostels „allen alles" zu werden, damit sie alle gewinnen und Gott zu eigen machen, indem sie durch die Untersuchung die Last der (weltlichen) Gedanken der Beichtkinder erreichen und ihre Handlungen genau prüfen und danach je nach der Beschaffenheit der jeweiligen Personen das Heilmittel auflegen. Dabei beten sie ständig und halten Nachtwachen für die Sünder und die, die weitab von Gott stehen. Ihre einzige Wonne ist die Rückkehr der Sünder und deren Reue.

Ἐπεὶ γοῦν τοιούτους ὁ λόγος ὑπεζωγράφησε τοὺς πνευματικοὺς ἰατροὺς καὶ μετ' ἐπιστήμης εἰδότας θεραπεύειν τοὺς μώλωπας τῶν ψυχῶν, ὥστε ἀνωτέρους μὲν εἶναι παθῶν, ὡς ἂν μὴ ὡς γάγγραινά τις ἢ λοιμώδης νόσος αἱ τῶν ἐξομολογουμένων πλημμελείαι αὐτοῖς ἐπεισπίπτωσι, ἀλλὰ καταδαπανῶνται ἀθρόον, μὴ ἐπιπολὺ παραμένειν δυνάμεναι καὶ προσκαρτερεῖν, καθάπερ φρύγανά τινα ἢ ἄκανθαι εἰς ἁδρὰν κάμινον καὶ μεγάλην πυρκαϊὰν εἰσφε|ρόμενά τε καὶ ἐμβαλλόμενα — τῆς γὰρ τοῦ Θεοῦ χάριτος φαιδρῶς ἐπάνω τῶν καρδιῶν αὐτῶν ἐπιπολαζούσης, ἀμολύντους καὶ καθαρὰς ταύτας περιφρουρούσης, δοχεῖον οὔσας τοῦ πνεύματος, ἅπαν μίασμα προσβολῆς εὐκόλως καταναλίσκηται —, πραεῖς δὲ καὶ ταπεινοὺς τοὺς αὐτοὺς φαίνεσθαι καὶ παντὸς καλοῦ ὑπόδειγμα καὶ ἀρχέτυπον καὶ πᾶσαν εἰς τοῦτο εἰσφέροντας τὴν σπουδήν, ὡς μηδὲ τῶν ἁμαρτανόντων κατεπαίρεσθαί τε καὶ κατολιγωρεῖν, ἀλλὰ συμπαθῶς αὐτοῖς ἐπικάμπτεσθαι καὶ πρὸς κατάνυξιν μάλιστα φέρειν καὶ ὡς οἰκεῖα μέλη καταψᾶν καὶ ὅση δύναμις θεραπεύειν — ὅθεν καὶ τὴν προσήκουσαν περὶ τούτου θεμένη φροντίδα ἡ μετριότης ἡμῶν καὶ διασκεψαμένη ὀφειλομένως κρατεῖν καὶ ἐνεργεῖσθαι τὴν πνευματικὴν ταύτην λυσιτέλειαν καὶ κατάστασιν καὶ ἁγιασμὸν τῶν ψυχῶν ἐν τῇ θεοδοξάστῳ καὶ μεγαλοπόλει, τῇ εὐδαίμονι ταύτῃ Κωνσταντινουπόλει, ἐκλέξασθαι δεῖν ἔγνω τοὺς ἀπὸ τῶν ἐν αὐτῇ μαρτυρουμένους ἀξίως ἔχειν καὶ εἰς τὴν τοιαύτην διακονίαν καὶ μόνοις αὐτοῖς ἐπιτρέψαι τὴν πνευματικὴν ἐξομολόγησιν, εἰς οὓς ἐθάρρησεν ἡ μετριότης ἡμῶν, ἵνα τῇ συνεργίᾳ τοῦ ἁγίου πνεύματος φυλάττωσιν ἑαυτοὺς ἀφιλαργύρους καὶ μετὰ καθαρᾶς συνειδήσεως πρὸ παντὸς σπεύδωσιν περὶ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν καὶ μήτε διὰ χρήματα μήτε διὰ φιλίαν ἢ δόξαν ἀνθρώπων ἢ ἑτέραν τινὰ προσπάθειαν ἀθετῶσι καὶ παραβλέπωσι τὸν τῆς ἀληθείας λόγον, ἀλλ' ὦσι πᾶσιν ἀνθρώποις φῶς, διαλάμποντες ἐν τῷ σκότει τοῦ βίου τούτου, πάσης ἀρετῆς ἐργάται καὶ σπουδασταί, ἀκτήμονες μὲν ὡς μηδὲν τὰ πάντα λογιζόμενοι, ἐλεήμονες δέ, ἐν οἷς ἂν θεοφιλῶς οἱ φιλόχριστοι καὶ θεοφιλεῖς αὐθαιρέτως αὐτοῖς βουληθῶσι προσενεγκεῖν —, ἔνθέν τοι, καὶ εἴπερ οὗτοι τοιοῦτοι ἀναφανεῖεν ἐν πᾶσι τοῖς εἰρημένοις διαπρέποντες, μετὰ τὴν τοῦ σώματος ἐξέλευσιν καὶ τὴν εἰς οὐρανοὺς μετάστασιν ἀξιωθήσονται καὶ τὰ ἱερὰ τούτων σώματα τῆς

60–61 δοχεῖον ... τοῦ πνεύματος] cf. adnotationes ad lin. 7 huius documenti pertinentes || 75 μετὰ καθαρᾶς συνειδήσεως] cf. 1 Tim. 3, 9 || 78–79 ὦσι ... φῶς, διαλάμποντες ἐν τῷ σκότει] cf. Joh. 1, 5

---

62 τοὺς αὐτοὺς om. MM || 67 προσήκουσαν] litt. σήκ in ras. scripsit V | μετριότης] litt. τρι ex corr. V || 84 οὐρανὸν MM

Nun hat unsere Rede die geistlichen Ärzte, die verständig die Verletzungen der Seelen zu behandeln wissen, in der Art vorgezeichnet, daß sie zum einen über den Leidenschaften stehen (sollen), damit nicht die Vergehen der Beichtkinder wie ein fressendes Geschwür oder eine ansteckende Krankheit über sie herfallen, sondern sofort vernichtet werden, ohne lange verweilen und aushalten zu können, wie dürres Holz oder Dornengewächse, die in einen gewaltigen Ofen und ein großes Feuer geworfen werden. Da nämlich die Gnade Gottes strahlend über ihren Herzen steht und diese (=Herzen) als ein Gefäß des Geistes unbefleckt und rein behütet, wird jedwede Beschmutzung durch eine Versuchung leicht unschädlich gemacht. Zum anderen sollen sie sich milde und demütig zeigen und sich als ein Beispiel und Vorbild alles Guten und als (Menschen) erweisen, die allen Eifer diesbezüglich an den Tag legen, daß sie ja nicht den Sündern gegenüber überheblich sind und sie vernachlässigen, sondern sich ihnen mitleidig zuneigen und sie insbesondere zur Reue bringen und wie eigene Glieder reinigen und, so weit es in ihren Kräften steht, heilen. Deshalb hat unsere Bescheidenheit sich diesbezüglich die gebührende Sorge gemacht und überlegt, daß dieser nutzbringende geistliche Zustand und die Heiligung der Seelen in dieser von Gott ausgezeichneten Großstadt, diesem glücklichen Konstantinopel, in angebrachter Weise gilt und in Kraft ist. Hierfür erkannte sie für notwendig, jene auszusuchen, die hier bezeugterweise für einen solchen Dienst würdig sind, und nur denen die {geistliche} Beichte zu übertragen, zu denen unsere Bescheidenheit Vertrauen faßte. Sie sollen durch die Hilfe des Heiligen Geistes sich vor Geldgier hüten und sich mit reinem Gewissen vor allem um das Heil der Sünder bemühen und weder um Geld noch aus Freundschaft oder wegen des Ansehens bei den Menschen oder wegen irgendeiner anderen Parteinahme das Wort der Wahrheit ungültig machen und mißachten, sondern sie sollen allen Menschen Licht sein, leuchtend in der Finsternis dieses Lebens, eifrig bestrebt, jegliche Tugend zu üben, besitzlos alles für nichts erachten, aber mildtätig mit dem, was ihnen aus Liebe zu Gott die von Gott geliebten Christen aus eigenem Antrieb darbringen wollen. Deshalb sollen auch, wenn sie sich in allem Genannten auszeichnen, nach dem Ableben und dem Eingang in den Himmel ihre seligen Körper mit dem gebührenden Begräbnis und Totengottesdienst unter göttlichen Lobgesängen und Chorliedern der Engel gewürdigt werden

πρεπούσης ταφῆς καὶ κηδείας μετὰ θείων ὑμνῳδιῶν καὶ χοροστασίας ἀγγελικῆς, καὶ συναρίθμιοι γενήσονται τοῖς ἁγίοις εἰς δόξαν Θεοῦ καὶ τὴν τῶν λοιπῶν μίμησιν τῶν κατὰ Θεὸν προθεμένων βιοῦν.

Ὅσοι δέ, ὅπερ ἀπευχόμεθα, τὸν τοῦ Θεοῦ φόβον παρ' οὐδὲν λογισάμενοι καὶ τὰς ἡμετέρας ταύτας παραινέσεις καὶ ἐντολὰς ἀθετήσαντες μετὰ τὴν σωματικὴν ταύτην ἀπόθεσιν ἀναδειχθῶσι φαῦλον ἀρχέτυπον, *142^r* δοῦλοι τὲ τῶν παθῶν καὶ ὑπὸ τῆς κακίστης φιλ||αργυρίας, ἣν ὁ μέγας ἀπόστολος δευτέραν εἰδωλολατρείαν προσφυῶς ὀνομάζει, ἀγόμενοι ὡς ἀνδράποδα, χρυσοῦ μᾶλλον ὄντες | δοῦλοι ἢ τοῦ Χριστοῦ, καταφρονήσαντες μὲν καὶ Θεοῦ, περιφρονήσαντες δὲ καὶ τὴν ἡμῶν μετριότητα, ἀποτρόπαιοι γενήσονται τῆς ἐκκλησίας Θεοῦ, μήτε ταφῆς μήτε κηδείας ἀξιωθέντες, οἷα δὴ τοῖς ἀλόγοις κτήνεσιν ὁμοιωθέντες, καὶ οὐ μόνον τὰς ἑαυτῶν ψυχὰς ἀπολέσαντες, ἀλλὰ καὶ ἑτέροις ὄλεθρον ψυχικόν, φεῦ, προξενήσαντες, ὡς μὴ ὤφελον, μηδένα λόγον ποιησάμενοι τοῦ αἰῶνος ἐκείνου καὶ τῆς μελλούσης φοβερᾶς κρίσεως καὶ ἀνταποδόσεως· «ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ», ὡς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ὥρισεν, «ἐν τίνι ἁλισθήσεται;» †.

---

92 δευτέραν εἰδωλολατρείαν] cf. Col. 3, 5 || 99—101 Mt. 5, 13

---

86 ἀγγελικῆς] εὐαγγελικῆς MM || 90 ταύτην in marg. suppl. V

184

Kallistos I. entscheidet einen Rechtsstreit zwischen den Nonnen des Nonnenklosters Panagiotissa (Mugulion) in Konstantinopel und der Eirene Asanina Philanthropene, bestätigt die Freiheit des Klosters und setzt es in seine Besitzungen ein.

V 47, f. 142^r—143^r	κατὰ μῆνα ὀκτώβριον τῆς ε' ἰνδικτιῶνος
MM I 312—317 (Nr. 136)	τοῦ ‚ς^{οῦ}ω^{οῦ}ξ' ἔτους (Z. 172—173)
PG 152, 1316—1320	Oktober 6860 (= 1351)
DAR. Reg. 2330	γράμμα (Z. 136 und 170)

Erwähnte Urkunden und Gesetze:

a) notariell beglaubigter und von den Parteien mit eigenhändigen Protagai versehener Kaufvertrag zwischen der Käuferin Maria Palaiologina und den Verkäufern Maria Dukaina Akropolitissa, ihrer Tochter, ⟨Theodora Dukaina Akropolitissa⟩, und deren Gatten, Demetrios ⟨Komnenos⟩ Kon-

und sie den Heiligen zugezählt werden zur Verherrlichung Gottes und als der Nachahmung würdiges Beispiel für die andern, die ein gottgefälliges Leben führen wollen.

Jene aber, welche, was nicht geschehen möge, weil sie die Gottesfurcht für nichts erachteten und auch diese unsere Ermahnungen und Gebote verwarfen, nach ihrem Ableben zu einem schlechten Beispiel erklärt werden, als Diener der Leidenschaften der elenden Geldgier untertan, die der große Apostel treffend einen zweiten Götzendienst nennt, von ihr wie Gefangene weggeführt, eher Diener des Goldes als Christi, welche selbst Gott verachten, sich aber auch über unsere Bescheidenheit hinwegsetzen, sollen für die Kirche Gottes verstoßenswert werden, weder eines Begräbnisses noch eines Totengottesdienstes für würdig erachtet werden, da sie den unvernünftigen Tieren gleich geworden sind. Denn sie haben nicht nur ihre eigenen Seelen zugrunde gerichtet, sondern auch anderen — wehe — seelisches Verderben zugefügt, wie sie es nicht hätten tun sollen. Sie haben sich ja nicht um jene Ewigkeit und das zukünftige schreckliche Gericht und die Vergeltung gekümmert. „Wenn nämlich das Salz schal wird", wie der Herr in den Evangelien sagte, „wodurch soll es wieder salzig gemacht werden?".

184

Überschrift (1—2). *Kauf der Liegenschaft Panagiu samt der dort befindlichen Kirche durch Maria Palaiologina* (3—25). *Errichtung eines Klosters und Versammlung von Nonnen* (26—37). *Weitere Zuwendungen der Maria Palaiologina an das Kloster* (38—45). *Weitere Liegenschaften im Eigentum des Klosters* (46—52). *Nach dem Tod der Maria Palaiologina und deren Tochter gelangt das Kloster an den Gatten der letzteren, Isaakios Palaiologos Asanes, dem der Kaiser das Aufsichtsrecht unter der Auflage, für das Kloster zu sorgen, verbrieft* (53—69). *Mißbrauch des Aufsichtsrechtes durch Isaakios Palaiologos Asanes und Schädigung des Klosters* (70—85). *Veruntreuung des Klosterbesitzes und Übertragung des Klosters an dessen Tochter Eirene Asanina Philanthropene sowie von Gebäuden an dessen Sohn Andronikos Asanes* (86—96). *Ansuchen der Nonnen an den Kaiser um Behebung des unhaltbaren Zustandes* (97—102). *Ladung der Eirene Asanina und Vorlage eines*

tostephanos (παλαιγενὲς ἔγγραφον πρατήριον φέρον καὶ τὰς διὰ σταυρικοῦ τύπου οἰκειοχείρους προταγὰς καὶ σιγνογραφίας αὐτῶν καὶ ταβελλίωνι πεπιστωμένον: Z. 16—19; παλαιγενὲς γράμμα τῆς πράσεως: Z. 24—25; παλαιγενὲς πρατήριον γράμμα: Z. 120—121)

b) weitere (in zeitlichem Abstand erfolgte?) Stiftungen der Maria Palaiologina an das Kloster Panagiotissa (Mühlen, Weinberge, Pachthäuser, Grundstücke, Gespanne) (vgl. προσαφιέρωσεν ... καὶ κτηματικὰς ὑποστάσεις [Z. 39—40] bzw. ἐκέκτητο ... τὸ μοναστήριον [Z. 46] bzw. ἐκ προσενέξεων [Z. 49; Stiftung anderer Personen? (vgl. τὸ τῆς Ἰατραίνης ... ὀσπήτιον προσκεκυρωμένον [Z. 163—164])] und ἡ ... δέσποινα ... ἀπένειμε [Z. 50—52]; s. auch προσκύρωσιν τῶν ἀφιερωμένων καὶ προσκεκυρωμένων [Z. 124])

c) (schriftliche?) Eingabe des Panhypersebastos Isaakios Palaiologos Asanes an den Kaiser ⟨Andronikos II.; nach 1320⟩ zur Erlangung von d) (ἀναφορά: Z. 62)

d) Chrysobullon des Kaisers ⟨Andronikos II.; nach 1320 (Tod der Theodora Arachantlun; vgl. PLP 1229), vor 1328; fehlt bei Dö. Reg.⟩: Dem Panhypersebastos Isaakios Palaiologos Asanes wird das Aufsichtsrecht über das Kloster Panagiotissa unter der Bedingung garantiert, daß dieser für dessen Bestand sorge (σεπτὸν ... χρυσόβουλλον: Z. 67)

e) Auflistung der durch den Panhypersebastos Isaakios Palaiologos Asanes an den Gebäuden des Panagiotissa-Klosters verursachten Schäden (κατάστιχον: Z. 89)

f) (Schenkungs)urkunden, mit denen der Panhypersebastos Isaakios Palaiologos Asanes seiner Tochter, Eirene Asanina Philanthropene, das Kloster Panagiotissa und seinem Sohn, Andronikos Asanes, Besitzungen dieses Klosters überträgt (γράμματα: Z. 90; vgl. auch τὰ ... ἐκδοθέντα ἐγγράφως [Z. 150—151])

g) kanonische Bestimmungen über den jurisdiktionellen Zuständigkeitsbereich in Klöster betreffenden Angelegenheiten (nicht identifiziert) (vgl. κατὰ τὴν τῶν ἱερῶν κανόνων παρακέλευσιν [Z. 101])

h) Fälschung von d), die das Recht der Übertragung auf die Kinder des Panhypersebastos enthält (σεπτὸν χρυσόβουλλον ... μεταποιηθὲν καὶ μὴ τῆς ἀληθείας ἐχόμενον: Z. 111—113; vgl. auch Z. 117—118 und Z. 141—142)

i) kanonisches Verbot der Entziehung von kirchlichen und klösterlichen Stiftungen; vgl. Kanon Nr. 10 der Prima-secunda (Joannou I/2, 464, 6 bis 467, 17; bes. 467, 15—17) sowie Kanon Nr. 24 des Konzils von Chalkedon (Joannou I/1, 88, 1—12) und Kanon Nr. 12 des Nicaenum II (Joannou I/1, 266, 15—268, 10) (vgl. οἱ θεῖοι καὶ ἱεροὶ κανόνες [Z. 162 und 167]) (vgl. auch Testimonienapparat zu Z. 159—162).

gefälschten Chrysobullon (103—115). *Zusammenfassung des Beweisverfahrens und weitere Gründe für die Urteilsbildung* (116—135). *Urteil des Synodalgerichtes: Befreiung des Klosters von jeder von außen kommenden Beeinträchtigung, Rückgabe der widerrechtlich entzogenen Liegenschaften durch Andronikos Asanes, Androhung von Sanktionen für Zuwiderhandelnde* (136—162). *Rückerstattung einer weiteren dem Kloster entzogenen Liegenschaft* (163—169). *Ausstellungsvermerk und Datierung* (170—173). *Unterschrift* (174—176).

Von den Nonnen des Panagiotissa-Klosters wird die Wiederherstellung der Unabhängigkeit des Klosters sowie Ersatz des von der Seite des Kurators erlittenen Schadens begehrt: Maria Palaiologina, die Halbschwester des Kaisers Andronikos II., kaufte von Maria Dukaina Akropolitissa, deren Tochter, Theodora Dukaina Akropolitissa, und deren Schwiegersohn, Demetrios Komnenos Kontostephanos, in der Gegend Phanarion in Konstantinopel gelegene Gebäude samt Zugehör für 4.000 Hyperpyra, um diesen Komplex in ein Kloster umzuwandeln. Der Kauf wurde notariell bestätigt. Das Kloster wurde errichtet und ausgestattet sowie darin Nonnen ohne Leistung einer Eintrittssumme aufgenommen. Maria Palaiologina stiftete dem Kloster weitere Liegenschaften, aus denen das Kloster jährliche Einkünfte in der Höhe von 300 Hyperpyra bezog. Weiters verfügte das Kloster über Liegenschaften außerhalb Konstantinopels. Nach Maria Palaiologinas Tod ging das Kloster sowie die Sorge um ihre Tochter Theodora an den Kaiser über, der Theodora mit dem Panhypersebastos Isaakios Palaiologos Asanes vermählte. Theodora starb kinderlos und intestat, woraufhin ihr Gatte Isaakios Palaiologos Asanes die Übertragung der Aufsicht über das Kloster beim Kaiser beantragte. Isaakios ließ jedoch die in Konstantinopel gelegenen Liegenschaften des Klosters verkommen und nahm 2.000 Hyperpyra für die Aufnahme von Laienschwestern und Nonnen in das Kloster an sich. Die Versorgung dieser Personen belastet nun das Kloster. Darüber hinaus ließ der Panhypersebastos verschiedene Klostergebäude niederreißen und verwendete deren Baumaterial für die Instandsetzung eigener Gebäude. Die Nonnen legen eine Aufstellung des so erwachsenen Schadens vor. Weiters übertrug der Panhypersebastos noch zu Lebzeiten das Kloster widerrechtlich seiner Tochter, Eirene Asanina Philanthropene, sowie seinem Sohn, dem Megas Primmikerios Andronikos Asanes, die seit alters her dem Kloster gehörenden Gebäude, welche in der Nähe der ihm, Isaakios, gehörenden Gebäude liegen. Dies ist die Situation, in der die Nonnen des Klosters den Kaiser um die Wiederherstellung des ehemaligen Status der Unabhängigkeit ersuchen. Die Sache wird an den dafür zuständigen Patriarchen überwiesen. Erst nach zweimaliger Ladung übersendet Philanthropene ein insofern verfälschtes Chrysobullon, als es das Recht des Panhypersebastos auf Übertragung des Klosters an seine Kinder und Kindeskinder enthielt. Angesichts der Beweislage verzichtet das Gericht zwar auf eine Verurteilung des Panhypersebastos Isaakios, verfügt jedoch die Rückerstattung der widerrechtlich entzogenen Liegenschaften seitens Andronikos Asanes sowie Strafandrohung für jede künftige Beeinträchtigung des Klosters.

† Δικαίωσις τῶν μοναζουσῶν τῆς τῶν Μουγουλλίων μονῆς †

† Φθάνει ἡ ὑψηλοτάτη δέσποινα τῶν Μουγουλλίων, ἡ περιπόθητος δηλονότι αὐταδέλφη τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως, τοῦ πάππου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰ Μαρία ἡ Παλαιολογίνα ἐκείνη, ἐξωνησαμένη ἀπὸ τῆς κυρᾶς Μαρίας Δουκαίνης τῆς Ἀκροπολιτίσσης ἐκείνης, ἀλλὰ δὴ καὶ τοῦ ἐπὶ θυγατρὶ γαμβροῦ αὐτῆς, κῦρ Δημητρίου τοῦ Κοντοστεφάνου ἐκείνου, ἔτι τὲ καὶ τῆς τοιαύτης θυγατρὸς αὐτῆς τὰ προσόντα τούτοις οἰκήματα μετὰ τῶν περικλειομένων αὐτοῖς ἑτέρων μικρῶν ὀσπητίων, ὅσα δῆτα καὶ ἦσαν, πρὸ πολλῶν ἤδη χρόνων περὶ τὴν τοποθεσίαν τοῦ Φαναρίου διακείμενα, τὴν οὕτω πως τηνικαῦτα ἐπιλεγομένην τὰ Παναγίου, μετὰ πάσης τῆς περιοχῆς καὶ νομῆς αὐτῶν, τῆς τε ἐκκλησίας καὶ τοῦ λουτροῦ, πρὸς δὲ τῶν περιβολίων καὶ ἀμπελώνων καὶ τῶν ἐκτὸς τοῦ περιόρου πάντων δικαίων, ἄνευ τῆς οἰκοθεσίας τοῦ οἰκειακοῦ ἐκείνων, Ἰωάννου τοῦ Θωμᾶ, ἔγγιστα καὶ σύγκολλα εὑρισκομένης τοῦ περιορισμοῦ αὐτῶν, προβάντος καὶ παλαιγενοῦς ἐγγράφου πρατηρίου φέροντος καὶ τὰς διὰ σταυρικοῦ τύπου οἰκειοχείρους προταγὰς καὶ σιγνογραφίας αὐτῶν καὶ ταβελλίωνι πεπιστωμένου, ὥσπερ εἴθισται καὶ νενόμισται, ἐπὶ τιμήματι ὑπερπύρων εὐστάθμων τετρακισχιλίων, ἐφ᾽ ᾧ κατὰ τὸν θεοφιλῆ σκοπὸν ἐκείνης δὴ τῆς ὑψηλοτάτης δεσποίνης τῶν Μουγουλίων μεταποιῆσαι ταῦτα καὶ ἱερὰν Θεῷ μονὴν ἀναδείμασθαι καὶ λιμένα ψυχῶν κατὰ Θεὸν προθεμένων βιοῦν παρασκευάσαι τὲ καὶ συστήσασθαι, ὃν δὴ τρόπον κατὰ μέρος διέξεισιν καὶ διαλαμβάνει τὸ προβὰν τοιοῦτον παλαιγενὲς | γράμμα τῆς πράσεως.

Τῆς γοῦν ἐξωνήσεως τὸν τρόπον τοῦτον γεγενημένης ἐκείνη κατὰ τὴν ἣν ἐνεστήσατο ἀρχῆθεν τοιαύτην φιλόθεον καὶ ἐπαινετὴν πρόθεσιν

---

2 Μουγουλίων MM || 3 Μουγουλίων MM || 3—32 φθάνει ἡ ὑψηλοτάτη δέσποινα—περιποιησαμένη in f. 157r iteravit V (reliqua pars f. 157r et totum f. 157v scriptura carent) || 11 Φανάρι MM || 21 Μουγουλίων] litt. ου[1] ex o corr. V

Bestätigung der Rechte der Nonnen des Mugulion-Klosters

Einst kaufte die erhabenste Herrin der Mongolen, das heißt die vielgeliebte Schwester des ruhmvollen und seligen Kaisers, des Großvaters[1] meines mächtigsten und heiligen Kaisers, die verstorbene Frau Maria Palaiologina, vor vielen Jahren bereits von der verstorbenen Frau Maria Dukaina Akropolitissa, aber auch von deren Schwiegersohn, dem verstorbenen Herrn Demetrios Kontostephanos, und deren Tochter die jenen gehörenden Gebäude samt den von diesen umschlossenen weiteren kleinen Häusern, wieviele es eben waren, die an dem Ort Phanarion, der damals Ta Panagiu hieß, lagen, mit deren gesamtem Umland und Nutzrechten, mit der Kirche und dem Bad, samt den Gärten und Weinbergen und allen außerhalb der Umgrenzung liegenden Rechten, (aber) ohne das Grundstück und das darauf stehende Haus ihres Verwalters Ioannes, Sohn des Thomas, das unmittelbar an ihr Grundstück grenzt. Darüber wurde ein alter Kaufvertrag errichtet, der ihre eigenhändigen Protagai und Signa in Kreuzesform trägt und von einem Notar beglaubigt wurde, wie es üblich und rechtens ist. (Sie erwarb die obengenannten Liegenschaften) um den Kaufpreis von 4.000 vollwertigen Hyperpyra, um diese (= Liegenschaften) gemäß der gottliebenden Absicht der verstorbenen höchsten Herrin der Mongolen umzugestalten und Gott ein heiliges Kloster zu erbauen und es als Hafen für Seelen einzurichten und auszustatten, die den Vorsatz haben, Gott gemäß zu leben, wie es die (damals) errichtete alte Kaufurkunde im einzelnen darlegt und enthält.

Nachdem der Kauf auf diese Art zustande gekommen war, nahm jene (= Maria Palaiologina) gemäß ihrem von Anfang an

---

[1] Maria Palaiologina war die Halbschwester Andronikos' II. (vgl. PLP 21395), des Großvaters Andronikos' III. Der regierende Kaiser Ioannes VI. Kantakuzenos verstand und bezeichnete sich als Bruder von Andronikos III. und in der Folge als Enkel Andronikos' II.; vgl. auch F. Dölger, Johannes VI. Kantakuzenos als dynastischer Legitimist, in: ders., ΠΑΡΑΣΠΟΡΑ. 30 Aufsätze zur Geschichte, Kultur und Sprache des byzantinischen Reiches. Ettal 1961, 194—207, und D. M. Nicol, The Byzantine Family of Kantakouzenos (Cantacuzenus) ca. 1100—1460 (*Dumbarton Oaks Studies* 11). Washington, D. C. 1968, 93 (mit Beispielen aus Urkunden, in denen Kantakuzenos Andronikos II. als seinen Großvater bzw. Andronikos III. als seinen Bruder bezeichnet).

μετὰ καρδιακῆς σχέσεως καὶ θερμῆς προθυμίας εὐθὺς εἰς τὸν πνευματικὸν καὶ ψυχωφελῆ τοῦτον ἀγῶνα ἐπαποδύεται καὶ ταῖς παρ᾽ ἑαυτῆς ἐπιμελείαις καὶ κόποις καὶ πλείστοις δή τισιν ἀναλώμασι τὴν ῥηθεῖσαν μεταποίησιν ἐποιήσατο. καὶ πρὸ παντὸς ἤδρασε καὶ ἐστήριξε περιποιησαμένη τὸν ἐκεῖ θεῖον ναὸν τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος τῆς Παναγιωτίσσης κελλία τὲ ἐκ βάθρων ἀνέκτισεν, ὡς ὁρᾶται, καὶ οὕτω δὴ μοναστήριον συνεστήσατο καὶ καταγώγιον μοναχῶν ἀνατεθειμένων καὶ ἀφιερωμένων Θεῷ ἐκ βρεφικῆς τῆς ἡλικίας, ἄλλην ἀλλαχόθεν συναγαγοῦσα χωρὶς οἱασδήτινος δόσεως, καθὼς ἐξελέξατο καὶ διέκρινε, τὸ πᾶν ἐπιτρέψασα καὶ παρασχομένη Θεῷ.

Οὐ μὴν ἀλλὰ καὶ πολλάττα ἱερὰ κειμήλια χρυσοῦ καὶ ἀργύρου πεποιημένα καὶ λοιπὰ πολύτιμα σκεύη καὶ βιβλία προσαφιέρωσεν, ἔτι δὲ καὶ κτηματικὰς ὑποστάσεις· μαγκιπεῖον τὲ μετὰ μουλαρίων δύο καὶ ἀμπέλια δύο ἐντὸς τῆς θεοδοξάστου Κωνσταντινουπόλεως περὶ τὸν λεγόμενον Παλαιὸν Φόρον, ἐκκλησίαν καὶ ὀσπήτια ἐμφυτευτικὰ ἑξήκοντα καὶ ἕτερον μαγκιπεῖον ἐν αὐτῇ τῇ περιοχῇ τῶν ἀμπελίων μετὰ μουλαρίων καὶ τοῦτο δύο· ἐξ ὧν περιήρχετο τῷ μοναστηρίῳ ἑκάστου ἔτους, ὡς διισχυρίζονται αἱ μοναχαί, ποσότης ὑπερπύρων τριακοσίων.

Ἐκέκτητο δὲ τὸ μοναστήριον καὶ περὶ τὸ Μαυροπόταμον χωρία, τό τε τοῦ Χαντούτζη καὶ τὸ λεγόμενον τῶν Ταταροπούλων μετὰ ζευγαρίων, ἀλλὰ δὴ καὶ περὶ τὴν Ῥαιδεστὸν ζευγηλατεῖον μετὰ ζευγαρίων δύο καὶ ἕτερα ἀμπέλια ἐκ προσενέξεων καὶ ὀσπήτια καὶ περὶ τὴν Μήδειαν καὶ ἀλλαχοῦ διάφορα. ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, διὰ τὸν εἰς Χριστὸν πόθον ἡ διαληφθεῖσα ὑψηλοτάτη δέσποινα τῶν Μουγουλίων πᾶσαν τὴν προσοῦσαν ἐκείνῃ περιουσίαν ἀπένειμε, πολυτελῆ καὶ μεγάλην τυγχάνουσαν.

Ἦν οὖν τὸ τοιοῦτον μοναστήριον εἰς δόξαν Θεοῦ καὶ περιφανὲς ἐν ἅπασιν, μέχρις ἂν ἐκείνη περιῆν. ἐκείνης δὲ τὴν ζωὴν ἐκμετρησάσης κατελείφθη τοῦτο καὶ ἣν εἶχεν ἐκείνη ὡς γνησίαν θυγατέρα, ἡ εὐγενεστάτη δηλαδὴ κυρὰ Θεοδώρα, ἡ ἐπονομαζομένη Ἀραχαντλούν, εἰς αὐτὸν δὴ ἐκεῖνον τὸν ἀοίδιμον βασιλέα. ἐπεὶ δὲ προσταγῇ καὶ ἀποδοχῇ

28 προθυμίας] litt. ϑ ex corr. V || 40 et linn. sequentes μουλαρίων] μουτρίων MM; μοστρίων vel μοστρῶν proposuit Matses V 3 | δυὸ V || 41 δυὸ V || 42 et linn. sequentes ὀσπήτια MM || 46 post δὲ vocem καὶ add. MM | χωρία] χωράφια MM || 48 δυὸ V || 49 προσενέξεως MM

gefaßten gottliebenden lobenswerten Vorsatz mit von Herzen kommender Anteilnahme und eifriger Bereitwilligkeit sofort diesen geistigen und der Seele förderlichen Kampf auf und führte die erwähnte Umgestaltung mit persönlicher Sorge und Mühe und überaus großen Aufwendungen durch. Vor allem sorgte sie für die Stärkung der Fundamente und Abstützung der dort befindlichen göttlichen Kirche der überaus reinen Herrin und Gottesmutter Panagiotissa, errichtete (weiters) Zellen von Grund auf, wie man sehen kann, und schuf so ein Kloster und eine Unterkunft für Nonnen, die sich Gott bereits in frühestem Kindesalter hingegeben und geweiht haben; sie versammelte die Nonnen jede von woandersher und ohne irgendeine Zuwendung nach ihrer Wahl und ihrem Urteil, indem sie alles Gott anheimstellte und übertrug.

Darüber hinaus stiftete sie aber auch viele verschiedene aus Gold und Silber gefertigte heilige Zimelien und andere wertvolle Geräte und Bücher. Dazu kamen auch noch Liegenschaften: eine Bäckerei mit zwei Maultieren, zwei Weinberge in der von Gott ausgezeichneten Stadt Konstantinopel in der Gegend des sogenannten Alten Forums, eine Kirche und sechzig Pachthäuser und eine weitere, ebenfalls mit zwei Maultieren ausgestattete Bäckerei in derselben Gegend wie die Weinberge. Daraus (= aus diesen Liegenschaften) bezog das Kloster nach den Behauptungen der Nonnen jährliche Einkünfte in der Höhe von 300 Hyperpyra.

Das Kloster besaß (damals) aber auch noch in der Gegend von Mauropotamon Grundstücke: Tu Chantutze und das sogenannte Ton Tataropulon samt Gespannen; dazu noch in der Gegend von Rhaidestos ein Landgut mit zwei Gespannen und weitere Weinberge aus Stiftungen; verschiedene Häuser in der Gegend von Medeia und andernorts. Mit einem Wort, die genannte erhabenste Herrin der Mongolen verteilte aus ihrer Liebe zu Christus ihren gesamten Besitz, der überaus wertvoll und groß war.

Dieses Kloster gereichte Gott zu Ruhm und war in allem angesehen, solange jene am Leben war. Nach ihrem Ableben aber ging es ebenso wie (die Fürsorge für) die eheliche Tochter der Verstorbenen, die überaus edle Frau Theodora mit dem Beinamen Arachantlun, an den verstorbenen ruhmvollen Kaiser. Auf Geheiß des Kaisers

βασιλικῇ ἠγάγετο αὐτὴν εἰς γυναῖκα ὁ περιπόθητος θεῖος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πανυπερσέβαστος κῦρ Ἰσαάκιος Παλαιολόγος ὁ Ἀσάνης | ἐκεῖνος, ἔφθασε δὲ μετὰ παραδρομὴν χρόνων τινῶν καὶ ἤδε ἡ τοῦ τοιούτου πανυπερσεβάστου σύζυγος τὸν βίον ἀπολιποῦσα ἄπαις καὶ ἀδιάθετος, ὕστερον μετὰ τὸν ἐκείνης θάνατον ἀναφορὰν ||
142r ποιησάμενος ὁ αὐτὸς πανυπερσέβαστος εἰς ἐκεῖνον τὸν ἀοίδιμον καὶ μακαρίτην βασιλέα, ἐφῷ προσκυρῶσαι ψυχικῆς ἕνεκα σωτηρίας καὶ ἀπὸ τῶν προικόθεν διαφερόντων τῇ δηλωθείσῃ προτέρᾳ συζύγῳ ἐκείνου καὶ ἐκ τῶν οἰκείων πραγμάτων εἰς τὸ μοναστήριον κἀντεῦθεν ἐπὶ συστάσει ἐφορεύειν αὐτοῦ, ἐπορίσατο σεπτὸν ἐκείνου χρυσόβουλλον ἐπιβραβεῦον τῷδε τῷ πανυπερσεβάστῳ τὴν αὐτὴν ἐφορείαν, σπεύδειν μέλλοντι ὑπὲρ τῆς βελτιώσεως καὶ ἐπὶ τὸ κρεῖττον αὐτοῦ προχωρήσεως καὶ αὐξήσεως.

Ἀλλ' εἰς τοὐναντίον ἅπαν προεχώρησε τὰ τοῦ πράγματος. οὐ μόνον γάρ, ὡς αἱ μοναχαὶ παριστῶσιν ἐξασφαλιζόμεναι, οὐ γέγονεν ἐκεῖθεν ὑπὲρ τοῦ μοναστηρίου σύστασις καὶ ὠφέλεια, ἀλλὰ καὶ μεγάλην ὁ διαληφθεὶς πανυπερσέβαστος ἐποιήσατο καινοτομίαν καὶ λύμην. τά τε γὰρ ἀμπέλια καὶ τὰ μαγκιπεῖα καὶ τὰ ἐμφυτευτικὰ ὀσπήτια ἐντὸς τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως ἐξεχερσώθησαν καὶ ἠφανίσθησαν, καὶ τὰ ζευγηλατεῖα καὶ πρὸ τῆς τοῦ καιροῦ ἀνωμαλίας ἐξηρημώθησαν, ὡς μικροῦ κινδυνεύειν τὴν μονὴν εἰς τὸ μηδὲν καταντῆσαι ἐξ αἰτίας ἐκείνου. ἔφθασε δὲ καὶ ἀνελάβετο καὶ ὑπὲρ ἀδελφῶν τριακοντατριῶν ἐξωτερικῶν κοσμικῶν μετὰ καὶ μοναχικῶν τινων ὑπέρπυρα δισχίλια, καὶ τὸ μὲν τοσοῦτον βάρος ἐπίκειται τῷ μοναστηρίῳ διὰ τὴν ἀπὸ τούτων ἀνάγκην καὶ δόσιν, ἅπερ ἐκεῖνος προσέθηκεν, αἱ δὲ μοναχαὶ ἐντὸς τούτου εὑρισκόμεναι καὶ καθ' ἑκάστην καὶ νυκτὸς καὶ ἡμέρας κοπιῶσαι καὶ ἐπαγρυπνοῦσαι εἰς ὕμνον καὶ δοξολογίαν Θεοῦ καὶ μνημόσυνον τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων πλείστῃ ἐνδείᾳ καὶ στενότητι κατατήκονται, ὡς μηδὲ τῶν ἀναγκαίων αὐτῶν εὐπορεῖν.

Πλὴν καὶ εἰς τοὺς ζῶντας ἔτι τελῶν ὁ εἰρημένος πανυπερσέβαστος κατεχάλασε μὲν καὶ διάφορα ἀνώγεω οἰκήματα τοῦ μοναστηρίου καὶ τὴν τούτων ὕλην εἰσῆξεν εἰς περιποίησιν τῶν ἑαυτοῦ οἰκημάτων, καθὼς διαλαμβάνει καὶ τὸ παρὰ τῶν μοναχῶν προτεινόμενον κατάστιχον λεπτομερές, ἐξέδοτο δὲ καὶ διὰ οἰκείων γραμμάτων πρὸς μὲν τὴν ἐκείνου

81 ἅπερ V, MM; ἅσπερ coni.

und mit dessen Zustimmung nahm der vielgeliebte Onkel meines mächtigsten und heiligen Kaisers, der verstorbene Panhypersebastos Herr Isaakios Palaiologos Asanes, diese zur Frau. Einige Jahre darauf starb auch die Gattin dieses Panhypersebastos kinderlos und ohne Testament. Nach ihrem Tod wandte sich selbiger Panhypersebastos an den verstorbenen ruhmvollen und seligen Kaiser, um dem Kloster zur Rettung seiner Seele aus der Mitgift seiner erwähnten ehemaligen Gattin und aus seinem eigenen Vermögen etwas zu stiften und danach über dessen (= des Klosters) Bestand (als Kurator) zu wachen. Daher erhielt er von jenem (= dem verstorbenen Kaiser) ein verehrungswürdiges Chrysobullon, das (ihm,) dem Panhypersebastos, der sich um die Verbesserung, den Fortschritt und die Entwicklung des Klosters eifrig bemühen sollte, die Aufsicht (über das Kloster) verbriefte.

Aber es kam alles ganz anders. Denn nicht nur kam von jener Seite für das Kloster keinerlei Verbesserung oder Nutzen, wie die Nonnen versichernd darlegen, sondern der besagte Panhypersebastos richtete auch große Zerstörung und Schaden an. Die Weinberge nämlich, die Bäckereien und die Pachthäuser in der von Gott erhöhten Stadt Konstantinopel wurden aufgegeben und gingen zugrunde, und die Landgüter verödeten noch vor der Zeit der Wirren (des Bürgerkrieges), so daß das Kloster beinahe Gefahr lief, durch seine (= des Panhypersebastos) Schuld völlig zugrunde gerichtet zu werden. Er nahm auch für (die Aufnahme von) 33 externen Laienschwestern und einigen Nonnen 2.000 Hyperpyra an sich. Diese so große Last liegt auf dem Kloster wegen des Bedarfes und der Zuwendung derjenigen, die er hinzugefügt hat. Die Nonnen aber leben in diesem (Kloster) und mühen sich ununterbrochen Tag und Nacht ab und wachen mit Hymnen und Lobpreisungen Gottes und dem Totengedenken meiner mächtigsten und heiligen Kaiser und leiden größte Not und Bedrängnis, weil es ihnen selbst am Nötigsten fehlt.

Darüber hinaus ließ der besagte Panhypersebastos noch zu seinen Lebzeiten verschiedene mit einem Obergeschoß ausgestattete Gebäude des Klosters niederreißen und verwendete das daraus stammende Material für die Instandsetzung seiner eigenen Gebäude, wie die von den Nonnen vorgelegte genaue Aufstellung darlegt. Weiters übertrug er durch eigene Urkunden einerseits seiner Tochter, der

ϑυγατέρα, τὴν περιπόϑητον ἐξαδέλφην τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰν Εἰρήνην Ἀσανίναν τὴν Φιλανϑρωπηνήν, τὸ αὐτὸ μοναστήριον, πρὸς δέ γε τὸν ταύτης αὐτάδελφον, τὸν περιπόϑητον ἐξάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγαν | πριμμικήριον κῦρ Ἀνδρόνικον τὸν Ἀσάνην, τὰ ἐκ παλαιοῦ ἀνήκοντα καὶ ὑποκείμενα ὀσπήτια τῷ μοναστηρίῳ πλησιάζοντα τοῖς ἰδίοις οἰκήμασι.

Ἔνϑέν τοι καὶ μὴ ἐνεγκοῦσαι τὰ περὶ τούτου αἱ μοναχαὶ ἀναδραμοῦσαι εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καϑικέτευσαν καὶ ἐζήτησαν μετὰ κρίσεως τὴν τοῦ μοναστηρίου προτέραν ἐλευϑερίαν τὲ καὶ κατάστασιν. παρεπέμφϑη τοιγαροῦν ἐκεῖϑεν ἡ ὑπόϑεσις ὡς ἀνακειμένη τῇ ἐκκλησίᾳ κατὰ τὴν τῶν ἱερῶν κανόνων παρακέλευσιν εἰς τὴν ἡμῶν μετριότητα.

Ὅϑεν καὶ διεμηνύϑη κατὰ τὸ εἰκὸς ἡ ῥηϑεῖσα περιπόϑητος ἐξαδέλφη τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἡ Φιλανϑρωπηνὴ διὰ τοῦ ἐντιμοτάτου ῥαιφερενδαρίου τῆς καϑ᾿ ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, κῦρ Μανουὴλ τοῦ Σιλβέστρου· ἧς δὴ καὶ μηδὲν εἰπούσης μῆδὲ δειξάσης κατὰ τὸ πρῶτον καὶ δευτέρῳ μηνύματι ἐχρησάμεϑα διὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων, ἀγαπητῶν κατὰ πνεῦμα υἱῶν τῆς ἡμῶν μετριότητος, κἀντεῦϑεν ἀντὶ πάσης ἀπολογίας ἐξαπέστειλε πρὸς τὴν ἡμῶν μετριότητα τὸ τοιοῦτον σεπτὸν χρυσόβουλλον, ὅπερ καὶ ἀναγνωσϑὲν καὶ ἐξετάσει δοϑὲν εὕρηται οὐχ ὡς προέβη τὴν ἀρχήν, ἀλλ᾿, οὐχ ὡς ἔδει, μεταποιηϑὲν καὶ μὴ τῆς ἀληϑείας ἐχόμενον, ἐν οἷς τὴν τοῦ μοναστηρίου παραπομπὴν καὶ καταδούλωσιν ἐποιεῖτο καὶ πρὸς τοὺς παῖδας τοῦ ῥηϑέντος πανυπερσεβάστου καὶ καϑεξῆς ὡσαύτως πρὸς τοὺς ἐξ ἐκείνων παῖδας καὶ διαδόχους.

Τῆς γοῦν ὑποϑέσεως οὕτω παρακολουϑησάσης καὶ τοῦ τοιούτου σεπτοῦ χρυσοβούλλου μετὰ ἐξετάσεως ἀκριβοῦς ἀναφανέντος μεταπεποιημένου εἰς τὴν ῥηϑεῖσαν παραπομπὴν καὶ καταδούλωσιν καὶ πρὸς τοὺς παῖδας τούτου δὴ τοῦ πανυπερσεβάστου καὶ πρὸς τοὺς ἐξ ἐκείνων ὁμοίως ἐφεξῆς κατὰ τὸν ἀναγεγραμμένον τρόπον καὶ τοῦ παλαιγενοῦς πρατηρίου γράμματος ἀληϑῆ παριστῶντος τὴν παρὰ τῆς δηλωϑείσης ὑψηλοτάτης δεσποίνης τῶν Μουγουλίων γεγονυῖαν ἀρχῆϑεν ἐξώνησιν καὶ μετὰ πλείστων ἀναλωμάτων ἐκείνης τοῦ μοναστηρίου ἀνίδρυσιν καὶ προσκύρωσιν τῶν ἀφιερωμένων καὶ προσκεκυρωμένων αὐτῷ, ὡς δεδή-

vielgeliebten Kusine meines mächtigsten und heiligen Kaisers, Frau Eirene Asanina Philanthropene, ebendieses Kloster, andererseits deren Bruder, dem vielgeliebten Vetter meines mächtigsten und heiligen Kaisers, dem Megas Primmikerios Herrn Andronikos Asanes, die dem Kloster seit alters her gehörenden und unterstehenden Häuser, die in der Nähe von seinen eigenen Gebäuden liegen.

Daher wandten sich die Nonnen, die diese Situation nicht mehr ertrugen, an meinen mächtigsten und heiligen Kaiser, flehten ihn an und forderten durch eine Entscheidung die frühere Freiheit und Stellung des Klosters. Von dort wurde nun die Angelegenheit, da sie gemäß der Bestimmung der heiligen Kanones der Kirche obliegt, an unsere Bescheidenheit verwiesen.

Also wurde die erwähnte vielgeliebte Kusine meines mächtigsten und heiligen Kaisers, die Philanthropene, ordnungsgemäß durch den hochwürdigsten Referendarios unserer heiligsten Großen Kirche Gottes, Herrn Manuel Silbestros geladen. Da diese auf die erste Ladung nichts erwiderte und auch keine (Urkunden) vorlegte, luden wir sie ein zweites Mal durch den ehrwürdigsten Megas Chartophylax und Hypatos ton Philosophon; (beide Einladenden sind) geliebte geistliche Söhne unserer Bescheidenheit. Daraufhin sandte sie unserer Bescheidenheit anstelle irgendeiner Rechtfertigung dieses verehrungswürdige Chrysobullon. Dieses (Chrysobullon) wurde verlesen und einer Prüfung unterzogen; es wurde befunden, daß es nicht in der Form vorlag, in der es ursprünglich erlassen worden war, sondern — wie es nicht sein hätte sollen! — daß es verfälscht war und nicht der Wahrheit entsprach, insoweit es die Weitergabe auch an die Kinder des genannten Panhypersebastos und in der Folge ebenso an deren Kinder und (Rechts)nachfolger und die Unterwerfung des Klosters unter diese beinhaltete.

Da die Angelegenheit also diesen Verlauf nahm und sich dieses Chrysobullon nach genauer Prüfung als verfälscht erwies, was die genannte Weitergabe auch an die Kinder dieses Panhypersebastos und in der Folge ebenso an deren Kinder und die Unterwerfung (des Klosters) (unter ihre Gewalt) in der oben beschriebenen Art betrifft, und da die alte Kaufvertragsurkunde den ursprünglich erfolgten Kauf durch die genannte erhabenste Herrin der Mongolen ebenso wie die Wiedererrichtung des Klosters mit äußerst vielen Aufwendungen ihrerseits und die Stiftung der verschiedenen Stiftungen an das Kloster als wahr bestätigt, wie erklärt wurde, und da andererseits

λωται, ἀποδεδειγμένης τὲ οὔσης καὶ τῆς τοσαύτης καινοτομίας καὶ λύμης καὶ κατατριβῆς τοῦ μοναστηρίου ἐκ τῆς κατὰ μέρος ῥηθείσης τοῦ πανυπερσεβάστου αἰτίας, ἡ μετριότης ἡμῶν ἅμα μὲν καὶ τοῦ ψυχικοῦ κατακρίματος ἐκεῖνον ἀπαλλάττουσα, ἅμα δὲ καὶ τοῦ ἀκαταδουλώτου καὶ ἀβλαβοῦς ἀπὸ τῶν κοσμικῶν καθάπαξ τοῦ μοναστηρίου φροντίζουσα, καθάπερ | ὀφειλομένως ἔχει, καὶ τῆς λοιπῆς λυσιτελείας κατὰ ψυχὴν καὶ ὠφελείας κατὰ τὴν μοναχικὴν τάξιν τὲ καὶ κατάστασιν, εἶχε μὲν κατὰ τὸν τοῦ δικαίου λόγον ἀναζητῆσαι καὶ ἐπανασώσασθαι τῷδε τῷ μοναστηρίῳ τὴν ἣν ὑπέστη, ὡς εἴρηται, λύμην καὶ καινοτομίαν εἰς τὰ προσκεκυρωμένα αὐτῷ, παρῆκε δὲ λόγῳ συγκαταβάσεως καὶ μάλιστα ὡς τῆς τοῦ εἰρημένου πανυπερσεβάστου τελευτῆς προκαταλαβούσης.

Τὸ παρὸν μέντοι ἀπολύουσα γράμμα ἐν ἁγίῳ παρακελεύεται πνεύματι ἡ μετριότης ἡμῶν, ὡς ἂν εὑρίσκηται τοαποτοῦδε || *143r* τὸ διαληφθὲν μοναστήριον τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος τῆς Παναγιωτίσσης ἀκαταδούλωτον καὶ ἐλεύθερον παντελῶς τῆς ἐφορείας παντὸς τοῦ μέρους ἐκείνου δὴ τοῦ πανυπερσεβάστου μηδεμίαν μηδαμῶς δικαίωσιν ἔχοντος ἀπὸ τοῦ σεπτοῦ χρυσοβούλλου ἀναφανέντος μεταπεποιημένου ἐν μέρει τρόπον ὃν εἴρηται, ἄλλως θ' ὅτι καὶ ὁ ἀοίδιμος καὶ μακαρίτης βασιλεὺς τὴν σύστασιν καὶ τὴν ἐπὶ τὸ βέλτιον πρόοδον καὶ ψυχωφελῆ συντήρησιν τοῦ μοναστηρίου ἀπὸ τῆς τοῦ εἰρημένου πανυπερσεβάστου ἐφορείας ἐθέσπισεν, οὐ μὴν τὴν τούτου ἐκτριβὴν καὶ εἰς τὸ μηκέτ' εἶναι ἐντεῦθεν κατάλυσιν. ἀνεπηρεάστου γὰρ ὄντος αὐτοῦ καὶ κατατριβῆς ἀνωτέρου μέλλουσιν πάντως καὶ αἱ μοναχαὶ ἀβλαβῶς καὶ ἀνεμποδίστως τὸν κατὰ Θεὸν δρόμον αὐτῶν ἀνύειν καὶ τὴν ψυχικὴν σωτηρίαν ἑαυταῖς, ὡς ἐπηγγείλαντο, πραγματεύεσθαι.

Τὰ μέντοι διαφέροντα ἔκπαλαι τῷ μοναστηρίῳ ὀσπήτια οὐ καλῶς ἐκδοθέντα ἐγγράφως παρὰ τοῦ τοιούτου πανυπερσεβάστου πρὸς τὸν δηλωθέντα περιπόθητον ἐξάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγαν πριμμικήριον Παλαιολόγον τὸν Ἀσάνην, κῦρ Ἀνδρόνικον, τὸν ἐκείνου υἱόν, ὀφείλει ἐπανασωθῆναι καὶ προσεῖναι, ὡς τὸ πρότερον, τῷ μοναστηρίῳ ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ εἴ τις ἕτερος, κἂν ὅστις ἄρα καὶ ᾖ, ἔφθασε καὶ ἀφείλετο ὁπωσδήποτε τὶ τῶν ὑποκειμένων καὶ ἀνηκόντων αὐτῷ —

---

150 ἔκπαλαι] ἐκ παλαιοῦ MM

die dem Kloster zugefügten Zerstörungen, Schäden und Beeinträchtigungen durch die genau dargelegte Schuld des Panhypersebastos erwiesen sind, befreit zwar unsere Bescheidenheit einerseits jenen von der Verurteilung seiner Seele, sorgt aber andererseits auch pflichtgemäß dafür, daß das Kloster ein für alle mal von Unterwerfung unter und Schaden durch Laien frei ist, sowie für den übrigen Nutzen hinsichtlich der Seele und Vorteil hinsichtlich der Ordnung und des Zustandes des Mönchtums; zwar hätte unsere Bescheidenheit für das Kloster die Schäden und Zerstörungen, die es an seinen Stiftungen, wie erwähnt, erlitten hatte, rechtmäßigerweise zurückfordern und wiedergutmachen sollen, doch aus Nachsicht und besonders, da der Tod des besagten Panhypersebastos dem zuvorgekommen war, nahm sie davon Abstand.

Mit der Expedierung der vorliegenden Urkunde ordnet unsere Bescheidenheit im Heiligen Geiste an, daß von jetzt an das besagte Kloster der überaus reinen Herrin und Gottesmutter Panagiotissa niemandem unterworfen und von der Aufsicht von der gesamten Partei des verstorbenen Panhypersebastos gänzlich frei sein soll, da diese überhaupt keinen Rechtsanspruch aufgrund des verehrungswürdigen Chrysobulls hat, das sich in der erwähnten Art teilweise als verfälscht erwies, und weil außerdem der ruhmvolle selige Kaiser die Erhaltung, den Fortgang zum Besseren und die seelenfördernde Bewahrung des Klosters durch die Aufsicht des genannten Panhypersebastos, nicht jedoch dessen Beeinträchtigung und die daraus resultierende völlige Vernichtung angeordnet hatte. Wenn nämlich das Kloster frei von Störungen und der Beeinträchtigung enthoben ist, werden sicherlich auch die Nonnen ohne Schaden und ohne Hinderung ihren Weg in Gott zurücklegen und für die Rettung ihrer Seelen, wie sie gelobt haben, wirken.

Die dem Kloster von alters her gehörenden Häuser, die dieser Panhypersebastos unangebrachterweise seinem Sohn, dem obengenannten vielgeliebten Vetter meines mächtigsten und heiligen Kaisers, dem Megas Primmikerios Palaiologos Asanes, Herrn Andronikos, urkundlich übertragen hat, müssen zurückerstattet werden und, wie zuvor, vollkommen ohne Belästigung und ohne Störung dem Kloster gehören. Darüber hinaus muß, wenn irgendjemand anderer, wer auch immer er sei, bereits irgendetwas vom Eigentum des Klosters an sich gebracht hat — mit Ausnahme freilich des

χωρὶς δῆτα τῆς οἰκοθεσίας Ἰωάννου τοῦ Θωμᾶ —, ὀφείλει κἀκεῖνος ἀπολῦσαι τοῦτο. τὰ γὰρ ἀφιερωμένα Θεῷ ἀναφαίρετα καὶ ἀναπόσπαστα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωνται, καὶ ὁ χεῖρα πλεονέκτιν καὶ ἅρπαγα τούτοις ἐπιβάλλειν ἐπιχειρῶν ὡς ἱερόσυλος ἄντικρυς κρίνεται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων.

Ἐπεὶ δὲ ἀνηνέχθη, ὡς τὸ τῆς Ἰατραίνης ἐκείνης ὀσπήτιον προσκεκυρωμένον καὶ ἀνατεθειμένον ὂν τῇ μονῇ ἔφθασε καὶ ἀπεσπάσθη καὶ τοῦτο παρὰ τοῦ μέρους τοῦ αὐτοῦ πανυπερ|σεβάστου, ὀφείλει καὶ τοῦτο ἐπανασωθῆναι καὶ προσεῖναι αὐτῷ, καθὰ καὶ τὸ πρότερον, ἐπεὶ τοὺς παραβαίνοντας τοὺς τοιούτους θείους καὶ ἱεροὺς κανόνας, ὅπερ κατ' αὐτῶν ἐπιτίμιον ἐκφωνοῦσιν οὗτοι, καὶ ἡμεῖς ἀκολούθως τὸ αὐτὸ βάρος ἐπιτίθεμεν.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται ἐπὶ τῷ προσεῖναι τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀνενοχλησίαν διηνεκῆ τε καὶ μόνιμον κατὰ μῆνα ὀκτώβριον τῆς ε' ἰνδικτιῶνος τοῦ ,ς^ου^ω^ου^ξ' ἔτους.

Εἶχε τό· *Κάλλιστος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης*, διὰ τῆς τιμίας καὶ θείας δεσποτικῆς πατριαρχικῆς χειρός †.

159—162 τὰ γὰρ ἀφιερωμένα Θεῷ—κανόνων] cf. linn. 44—48 documenti 190 huius editionis (ἐπειδὴ τὰ ἀφιερωμένα τῷ Θεῷ ἀναπόσπαστα καὶ ἀναφαίρετα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωνται, καὶ ὁ χεῖρα πλεονέκτιν καὶ ἅρπαγα ἐπιβάλλειν τούτοις ἐπιχειρῶν ὡς ἱερόσυλος κρίνεται παρ' αὐτῶν καὶ ἐπιτιμίῳ καθυποβάλλεται); cf. etiam chrysobullum imperatoris Alexii Comneni a. 1082 promulgatum: ὁ ἀπὸ τοῦδε τολμήσων τῶν ἱερῶν τινὸς κειμηλίων παράψασθαι ὡς ἄντικρυς ἱερόσυλος ... λογίζηται (I 304, 41—43 Zepi)

185

Kallistos I. bestätigt das von Kaiser Ioannes VI. Kantakuzenos für die ehemalige Zauberin und nunmehrige Nonne Amarantina eingerichtete Adelphaton im Manganen-Kloster und befiehlt dem jeweiligen Abt dessen unverkürzte Entrichtung.

Grundstückes und des darauf stehenden Hauses des Ioannes, Sohnes des Thomas —, auch jener dies herausgeben. Denn was Gott gestiftet worden ist, muß für alle Ewigkeit gänzlich unentziehbar bei denen bleiben, denen es gestiftet wurde, und wer seine habgierige und räuberische Hand darauf zu legen versucht, wird von den göttlichen und heiligen Kanones als Kirchenschänder verurteilt.

Da vorgebracht wurde, daß auch das dem Kloster gestiftete und gewidmete Haus der verstorbenen Iatraina bereits von der Partei ebendieses Panhypersebastos entrissen worden ist, soll auch dieses rückerstattet werden und ihm (= dem Kloster) wie zuvor gehören. Denn denen, die diese göttlichen und heiligen Kanones übertreten, erlegen folglich auch wir dieselbe Strafe auf, die diese (= die Kanones) gegen sie verkünden.

Zur diesbezüglichen Sicherheit wurde auch die vorliegende Urkunde unserer Bescheidenheit erlassen, damit sie (= die Urkunde) dem erwähnten verehrungswürdigen Kloster zur Verfügung stehe zum dauernden und bleibenden ungestörten Besitz (der besagten Vermögenswerte). Im Monat Oktober der 5. Indiktion des Jahres 6860.

(Das Original) trug (die Unterschrift) von der ehrwürdigen und göttlichen Hand des Herrn und Patriarchen: „Kallistos, durch Gottes Erbarmen Erzbischof von Konstantinopel, des Neuen Rom, und ökumenischer Patriarch“.

---

160 ἀφιέρωται MM || 160—161 πλεονέκτην MM || 163 Ἰατραίνης] forsitan non nomen proprium est, sed medici professionem (mariti?) indicat || 174 Κάλλιστος] litt. K ex corr. V

185

Überschrift (1). *Amarantina erhielt nach ihrer Abkehr von der Zauberei und dem Eintritt in das Kloster Tu Pertze* (2—11) *durch die Vermittlung des Patriarchen vom Kaiser 100 Hyperpyra* (11—17), *die sie in ein vom Manganen-Kloster zu beziehendes Adelphaton investierte*

V 47, f. 143^{r} — μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος πέμπτης (Z. 36)
MM I 317—318 (Nr. 137) — Dezember ⟨1351⟩
PG 152, 1320—1321 — γράμμα (Z. 22 und 30)
Dar. Reg. 2331

Erwähnte Urkunden und Gesetze:
a) Prostagma des Kaisers ⟨Ioannes VI. Kantakuzenos; kurz vor Dezember 1351; Dö. Reg. 2985⟩ für Amarantina (σεπτὸν πρόσταγμα: Z. 21und 29).

Μοναχῆς Ἀμαραντίνης †

† Ἐπεὶ ἡ ἐπονομαζομένη Ἀμαραντίνα ἔφθασεν ἐξ ὑποβολῆς καὶ βασκανίας τοῦ κοινοῦ ἐχθροῦ καὶ προσέκειτο πρότερον ἀτοπήμασι καὶ ἔργοις ψυχοβλαβέσιν, ὕστερον δὲ εὐδοκίᾳ Θεοῦ ἀπὸ παραινέσεως τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, τοῦ κοινοῦ τῶν ψυχῶν ἰατρείου, οὐ μόνον ἐβδελύξατο καὶ ἀπέστη καθόλου ἀπὸ τῶν τοιούτων ὀλεθρίων πράξεων, ἀλλὰ καὶ θερμὴν ἐκ τῶν ἔργων ἐνεδείξατο τὴν μετάνοιαν καὶ κατάνυξιν καὶ ὁλοψύχως πρὸς τὸ κρεῖττον ἐπιστροφήν, ὡς καὶ τὸ μοναχικὸν ἀσμένως μεταμφιάσασθαι σχῆμα καὶ ἀγαπῆσαι τὸν μονήρη βίον εἰσελθοῦσαν ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Περτζὲ καὶ ἐπιμελουμένην τῆς ψυχικῆς αὐτῆς σωτηρίας, ἀνενεχθὲν δὲ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι παρὰ τῆς ἡμῶν μετριότητος ἕνεκα προμηθείας τῆς ῥηθείσης Ἀμαραντίνης ἐπὶ τῷ ἀπερισπάστως τῆς κατὰ Θεὸν ἀγωγῆς ταύτην ἀντιποιεῖσθαι, ἐπηυδόκησε τῇ πρὸς πάντα τὰ κάλλιστα προχείρῳ καὶ βασιλικῇ εὐποιίᾳ καὶ εὐμενείᾳ αὐτοῦ, οὐχήκιστα δ' ἐν οἷς ἐστι τὸ σπουδαζόμενον σωτηρία ψυχῶν, καὶ εὐηργέτησε πρὸς τήνδε τὴν μοναχὴν Ἀμαραντίναν ὑπέρπυρα ἑκατόν, ἅτινα καὶ ἐδόθησαν παρ' αὐτῆς πρὸς τὴν σεβασμίαν μονὴν τῶν Μαγγάνων, καὶ ἐτάχθη ἔχειν καὶ λαμβάνειν αὐτὴν ἐντεῦθεν ἀδελφάτον ἓν κατὰ τὸ πάντη ἀνελλιπές, καθὼς ἔχουσι δῆτα καὶ λαμβάνουσι καὶ οἱ ἐν τῇ ῥηθείσῃ μονῇ μοναχοὶ τὰ οἰκεῖα ἑαυτῶν ἀδελφάτα, προσευεργετήσας καὶ ἐπι|βραβεύσας εἰς τοῦτο καὶ σεπτὸν πρόσταγμα, τὸ παρὸν ἀπολύουσα γράμμα καὶ ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ διακελεύεται πνεύματι, ὡς ἂν ἔχῃ καὶ λαμβάνῃ ἡ ῥηθεῖσα μοναχὴ Ἀμαραντίνα ὡς δοῦσα τὰ τοιαῦτα ρ' ὑπέρπυρα πρὸς τὴν σεβασμίαν τῶν Μαγγάνων μονήν, ὡς

1 titulum post documentum praecedens in dextra margine scripsit V; om. MM || 11 ἀνενεχθὲν] sic V; conicere non ausi sumus || 15 δ' ἐν] δὲ ἐν MM

(17—21). *Der Patriarch bestätigt die unverminderte Leistung dieses Adelphaton durch den jeweiligen Abt des Klosters* (21—35). *Datierende Unterschrift* (36).

Die Nonne Amarantina

Die (Frau) namens Amarantina hing früher, vom gemeinsamen Feind dazu verführt und verhext, Abwegigkeiten und für die Seele schädlichen Werken an. Später aber wandte sie sich mit Gottes Hilfe und durch die Ermahnung der heiligen Kirche Gottes, der gemeinsamen Heilstätte der Seelen, nicht nur voll Abscheu von derartigen verderblichen Handlungen völlig ab, sondern zeigte auch durch ihre Werke inbrünstige Reue und Zerknirschung und aus ganzer Seele Umkehr zum Besseren, so daß sie sogar bereitwillig das Nonnengewand anlegte und das klösterliche Leben lieben lernte und in das verehrungswürdige Kloster Tu Pertze eintrat und sich ihrem Seelenheil widmete. Als dies meinem mächtigsten und heiligen Kaiser von unserer Bescheidenheit um der Versorgung der besagten Amarantina willen berichtet wurde, damit sich diese ohne Ablenkung des Lebens in Gott befleißigen könne, schenkte er in seiner kaiserlichen wohltätigen Güte, die zu allem überaus Guten bereit ist, vor allem aber (in Angelegenheiten), in denen das Bemühen um das Heil von Seelen geht, dieser Nonne Amarantina 100 Hyperpyra, die jene dem verehrungswürdigen Manganen-Kloster gab, und es wurde festgesetzt, daß sie daraus ein in jeder Hinsicht unverkürztes Adelphaton beziehen solle, wie eben auch die Mönche im genannten Kloster ihre eigenen Adelphata beziehen; als weitere Wohltat verlieh er ihr in dieser Angelegenheit auch ein verehrungswürdiges Prostagma. Mit der Expedierung der vorliegenden Urkunde befiehlt auch unsere Bescheidenheit im Heiligen Geist, daß die erwähnte Nonne Amarantina, da sie, wie (oben) erklärt wurde, dem ehrwürdigen Manganen-Kloster jene 100 Hyperpyra gegeben hat,

δεδήλωται, τὸ εἰρημένον ἀδελφάτον αὐτῆς ἀνελλιπῶς καὶ κατὰ τὸ ἀκέραιον καὶ ὁλόκληρον καὶ μετὰ τῆς συνήθους εὐλογίας καὶ μηδενὸς στερῆται ἐξ αὐτοῦ, ὥσπερ καὶ οἱ διαληφθέντες μοναχοὶ ἔχουσι τὰ ἑαυτῶν ἀδελφάτα ἀνελλιπῶς, καθὼς τὲ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ διὰ τοῦ σεπτοῦ αὐτοῦ προστάγματος διορίζεται καὶ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος παρεγγυᾷ γράμματος, ὀφειλόντων καὶ τῶν κατὰ καιροὺς ἡγουμενικῶς προϊσταμένων ταύτης δὴ τῆς σεβασμίας μονῆς, δηλαδὴ τῶν ἐν αὐτῇ μοναχῶν, ἀποδιδόναι τῇ μοναχῇ Ἀμαραντίνῃ τὸ ἀδελφάτον ἀνεγκρατήτως καὶ ἀνυστερήτως καὶ χωρὶς οἱασδήτινος προφάσεως καὶ μετ᾽ εὐλογίας τῆς συνήθους, ὡς εἴρηται, ἐπεὶ τούτου ἕνεκα καὶ βαρύτατον ἐπιτίμιον ἐπανατεινόμεθα.

Εἶχε τό· *μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος πέμπτης †.* ||

25 ἀνελλιπῶς] an ἀνελλιπῆ legendum? || 26 ἀκέραιον difficulter legitur || 35 καὶ om. MM

186

Kallistos I. ermahnt den Exarchen Michael Skutariotes, die Priester und Mönche des Sprengels Tu Aaron in Konstantinopel zur Beachtung der ergangenen Disziplinierungsvorschriften anzuhalten.

V 47, f. 143v — σήμερον, ἥτις ἐστὶ τρίτη τοῦ σεπτεβρίου (Z. 21)
MM I 318—320 (Nr. 138) — μηνὶ σεπτεβρίῳ
PG 152, 1321—1322 — ἰνδικτιῶνος ϛ′ (Z. 54—55)
Dar. Reg. 2329 — 3. September ⟨1352⟩
(vgl. παρακελεύεται [Z. 16 und 41])

Erwähnte Urkunden und Gesetze:

a) Disziplinierungsmaßnahmen des Patriarchen ⟨Kallistos I. vom Dezember 1350; Dar. Reg. 2319 und 2320⟩ für Priester und Mönche in Konstantinopel (= oben, Nr. 181 und 183) (vgl. τὸν πέρυσι καιρὸν ... παρεκελεύσατο ἐγγράφως [Z. 5—8])
b) (schriftliches) Einschreiten des Patriarchen ⟨Kallistos I.; zwischen Ende 1350 und 3. September 1352; Dar. Reg. 2321⟩ gegen unkanonische Ehen (vgl. προεμηθεύσατο ... καὶ παρῄνεσε [Z. 8—9]) (vgl. auch Nr. 257, erwähnte Urkunde o)
c) ⟨Novelle 108 des Kaisers Leon VI. (Noailles–Dain 353—355): Das Gericht hat nach dreimaliger fruchtloser Ladung des Beklagten ein Ver-

ihr besagtes Adelphaton unverkürzt, in vollem Umfang, gänzlich und mit dem üblichen Segen beziehen und ihr nichts davon vorenthalten werden soll, wie auch die erwähnten Mönche ihre Adelphata unverkürzt beziehen. Dies ordnet mein mächtigster und heiliger Kaiser mit seinem verehrungswürdigen Prostagma an, und dies trägt auch unsere Bescheidenheit mit ihrer vorliegenden Urkunde auf. (Weiters) sollen auch diejenigen, die jeweils als Abt diesem ehrwürdigen Kloster, das heißt den darin lebenden Mönchen, vorstehen, der Nonne Amarantina ihr Adelphaton, ohne etwas davon zurückzubehalten und ohne Verzug und ohne irgendeinen Vorwand und mit dem üblichen Segenswunsch, wie gesagt, ausfolgen, weil wir (andernfalls) dafür eine äußerst schwere Strafe androhen.

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat Dezember der 5. Indiktion“.

186

Vokativische Anrede des Empfängers (1—3). *Segenswünsche* (3—4). *Erinnerung an die bereits vor einem Jahr erfolgte Ermahnung zu einer angemessenen Lebensführung der Priester* (5—12). *Ermahnung an die Pflichten des Exarchen* (13—32). *Weitere Ermahnung an die Priester* (33—37). *Verantwortung des Exarchen für deren Zuwiderhandeln* (38—40). *Ermahnung an die Priester, den Exarchen zu allen wichtigen Handlungen als Aufsichtsperson beizuziehen* (41—52). *Schlußgruß* (53). *Datierende Unterschrift* (54—55).

säumnisurteil zu fällen⟩ (vgl. κατὰ τὴν τῶν φιλευσεβῶν νόμων διαταγήν [Z. 16—17])

d) Ehefähigkeitszeugnis(se), auszustellen vom Patriarchen von Konstantinopel (βούλλα: Z. 22; προτροπὴ καὶ ... βούλλα: Z. 25—26).

143r † Ὁ εἰς ἔξαρχον ἀνατεθειμένος τῆς κατὰ τὴν θεοδόξαστον Κωνσταντινούπολιν ἐνορίας τῆς τοῦ Ἀαρών, θεοσεβέστατε πρεσβύτερε καὶ ταβουλλάριε Σκουταριῶτα· τὴν ἀπὸ τοῦ Θεοῦ χάριν καὶ τὸ ἔλεος ἐπεύχεταί σοι ἡ μετριότης ἡμῶν.

Τὸν πέρυσι καιρὸν προμηθευσαμένη χάριτι Χριστοῦ ἡ μετριότης ἡμῶν, ἵνα ἀπέχωσιν οἵ τε ἱερωμένοι καὶ οἱ μοναχοὶ ἀπὸ τῶν καπηλείων καὶ ἀναστρέφωνται κατὰ τὸ προσαρμόζον αὐτοῖς σχῆμα, παρεκελεύσατο ἐγγράφως, ὅσον γινώσκεις. ὡσαύτως προεμηθεύσατο ἡ μετριότης ἡμῶν καὶ παρῄνεσε καὶ ἐπεφωνήσατο διαφόρως, ἵνα γένωνται ἐκτουμέσου καὶ διορθωθῶσιν αἱ τριγαμίαι, αἱ ἀθεμιτογαμίαι, αἱ τετραγαμίαι, αἱ πολυγαμίαι, αἱ μοιχοζευξίαι, δι' ἅπερ «ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας» κατὰ τὸν μέγαν ἀπόστολον.

Ἐπεὶ γοῦν οὐδὲν πλέον ἐγένετο καὶ μετὰ τὰς τοσαύτας παρεγγυήσεις καὶ παραινέσεις τῆς ἡμῶν μετριότητος, ἀλλὰ προεχώρησεν ἡ νόσος εἰς παροξυσμὸν καὶ ἀγανάκτησιν τοῦ Θεοῦ μάλιστα, διατοῦτο ἐπισκήπτει καὶ παρακελεύεταί σοι ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ πνεύματι, ἐπεὶ κατὰ τὴν τῶν φιλευσεβῶν νόμων διαταγὴν μετὰ πρώτην καὶ δευ|τέραν καὶ τρίτην ἐπιφώνησιν γίνεται καὶ ἐκδίκησις εἰς σωφρονισμὸν καὶ ἀναστροφὴν τῶν περιφρονούντων καὶ ἀπειθούντων τῇ ἐκκλησίᾳ Θεοῦ, τοῦ κοινοῦ συμφέροντος προνοουμένη διὰ τῆς τοῦ Θεοῦ χάριτος, ὡς ἂν ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶ τρίτη τοῦ σεπτεβρίου, ἔχητε παντοίαν προσοχὴν καὶ συντήρησιν καὶ οὐδὲν τολμήσῃ τὶς ζητῆσαι καὶ λαβεῖν βούλλαν ἀλλαχόθεν συνοικεσίου μέλλοντος προβαίνειν, ἀλλ' ἀνατρέχῃ ὁ ζητῶν μετά σου εἰς τὴν ἡμῶν μετριότητα καὶ δοκιμασίας πρότερον κατὰ τὸ ὀφειλόμενον τῇ χριστιανικῇ καταστάσει ἐννόμου γινομένης διδῶται ἡ προτροπὴ καὶ ἡ βούλλα ἐντεῦθεν, ἵνα εὐδοκοῦντος τοῦ φιλαγάθου Θεοῦ παύσηται καὶ ἡ ἐπελθοῦσα τῷ ταλαιπώρῳ ἡμετέρῳ γένει καταιγὶς καὶ μεταποιηθῇ εἰς αἰθρίαν διορθώσεως γενομένης, εὐμενῶς ἐπιβλέψαντος ἄνωθεν ἐφ' ἡμᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πλουσίου ὄντος ἐν

11—12 Eph. 5, 6 || 27—28 καταιγὶς—αἰθρίαν] locum non invenimus; cf. linn. 35—37 documenti 190 et linn. 64—65 documenti 219 || 29—30 πλουσίου—ἐλέει] cf. Eph. 2, 4

9 ἐκτουμέσου] sub litt. (τ)ου lin. ducta in V || 22 βοῦλλαν V || 26 βοῦλλα V

Frömmster Priester und Tabullarios Skutariotes, der zum Exarchen des Sprengels Tu Aaron im gottgerühmten Konstantinopel ernannt wurde! Unsere Bescheidenheit erbetet für Dich die Gnade und das Erbarmen Gottes.

Voriges Jahr traf unsere Bescheidenheit durch die Gnade Christi Vorsorge dafür, daß die Priester und die Mönche den Schenken fernbleiben und in einer für ihren Stand schicklichen Art und Weise leben, und befahl schriftlich, was Du weißt. Ebenso ermahnte unsere Bescheidenheit in ihrer Vorsorge mehrmals, Trigamien, (wegen zu naher Verwandtschaft) verbotene Ehen, Tetragamien, Polygamien und Ehen von Ehebrechern zu beheben und zu korrigieren; denn (sie sind der Grund dafür, daß) nach den Worten des großen Apostels „der Zorn Gottes die Söhne des Ungehorsams" trifft.

Aber auch nach so vielen Aufforderungen und Ermahnungen unserer Bescheidenheit geschah (dennoch) nichts, sondern die Krankheit schritt zu Gottes Verbitterung und Zorn sogar noch fort. Deswegen und weil es nach der Bestimmung der frommen Gesetze nach der ersten und zweiten und dritten Ermahnung auch zur Bestrafung kommt, um diejenigen, die Gottes Kirche mißachten und ihr ungehorsam sind, zu maßregeln und zur Umkehr zu bewegen, befiehlt Dir unsere Bescheidenheit, die durch die Gnade Gottes für das gemeinsame Wohl sorgt, eindringlich im Heiligen Geist, daß Ihr von heute, dem 3. September, an, jegliche Vorsicht und Aufmerksamkeit walten lassen sollt, daß es niemand wagt, anderswoher ein Ehefähigkeitszeugnis betreffend eine vorzunehmende Eheschließung zu verlangen und zu erhalten, sondern daß der Antragsteller mit Dir zu unserer Bescheidenheit kommt und, nachdem zuerst eine rechtliche Prüfung, wie es sich für die christliche Ordnung gebührt, stattgefunden hat, daraufhin die Genehmigung und das Ehefähigkeitszeugnis gegeben wird. So soll durch die Billigung des das Gute liebenden Gottes auch der über unser geplagtes Volk hereingebrochene Sturm ein Ende nehmen und sich durch die vorgenommene Besserung in heiteres Wetter verwandeln, wenn unser Herr Jesus Christus wohlgesonnen von oben auf uns herabblickt,

ἐλέει καὶ οἰκτιρμοῖς καὶ τὴν σωτηρίαν ἡμῶν ἀποδεχομένου. γίνωσκε γάρ, ὡς, εἴπερ οὐδὲν συντηρηϑῇς εἰς τοῦτο, ἀμεταϑέτως μέλλεις ἐκπεσεῖν καὶ τῆς σῆς ἱερωσύνης καὶ καϑαίρεσιν παντελῆ ὑποστῆναι.

Οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν τοιούτων ἱερωμένων καὶ μοναχῶν καὶ νῦν πάλιν προαναφωνεῖ καὶ προαγγέλλει ἡ μετριότης ἡμῶν, ὡς ἂν οὐ μόνον ἀπέχωσιν ἀπὸ τῶν καπηλείων, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν τῶν κατεγνωσμένων καὶ πολιτεύωνται ἐν σεμνότητι βίου καὶ ἀγαϑοῖς τρόποις, εὑρισκόμενοι τοῖς ἄλλοις εἰς τύπον καὶ ὑπογραμμὸν τοῦ καλοῦ, ἐπεί, ἐὰν σοῦ ἀμελοῦντος πάλιν ἐμπίπτωσιν οὗτοι εἰς τὰ τοιαῦτα ἀπηγορευμένα, σὺ μέλλεις εὐϑυνϑῆναι κανονικῶς καὶ κινδυνεῦσαι ἀργίαν τῆς ἱερωσύνης σου.

Παρακελεύεται δὲ καὶ τοῦτο ἡ μετριότης ἡμῶν, ἵνα οἱ περὶ τὸ μέρος τῆς τοιαύτης ἐνορίας εὑρισκόμενοι ἅπαντες ἱερεῖς ποιῶσιν ἔργον ἐπιμελέστατον πρὸ παντὸς καὶ προσκαλῶνται τὸν τοιοῦτον αὐτῶν ἔξαρχον ἔν τε ἑορταῖς ἁγίων καὶ μνήμαις τῶν ἀποιχομένων καὶ εὐχελαίοις καὶ πάσαις ἁπλῶς ταῖς λοιπαῖς ἱεραῖς τελεταῖς, ὅπως ἐποπτεύῃ καὶ ἐπιτηρῇ προσηκόντως καὶ κατὰ τὸ ἀρέσκον Θεῷ ἐνεργεῖσϑαι τὰ τοιαῦτα καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τὲ καὶ παράδοσιν. ὅστις δὲ ἀπὸ τούτων φωραϑείη μετὰ τὴν παρακέλευσιν ταύτην τῆς ἡμῶν μετριότητος μὴ ποιῶν οὕτως, ἀλλὰ χωρηϑῇ εἰς ἀϑέτησιν ἐπὶ τοῖς εἰρημένοις, ὑποστήσεται καὶ ἀργίαν τῆς ἱερωσύνης αὐτοῦ καὶ καταδίκῃ ἑτέρᾳ σωφρονισϑήσεται, καὶ ἀνενέργητον ἔσται, ὅπερ ἂν χωρὶς τῆς παρουσίας τούτου λάϑρᾳ ἐνεργηϑῇ.

Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ σοῦ †. |

Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· *μηνὶ σεπτεβρίῳ ἰνδικτιῶνος ϛ′ †.* ||

36 σεμνότητι] στενότητι MM; cf. Matses V 3 || 37 ὑπογραμμὴν MM || post finem documenti sexta fere pars f. 143v scriptura caret; textus f. 144v–r (sic) ad documenta 412—414 huius editionis (v. vol. IV) pertinent

der in seinem Erbarmen und Mitleid reich ist und unsere Rettung gutheißt. Wisse nämlich, daß Du, wenn Du Dich diesem nicht fügst, unverzüglich Deines Priesteramtes verlustig gehen und eine vollkommene Absetzung erfahren wirst!

Aber auch bezüglich derselbigen Priester und Mönche wiederholt nun unsere Bescheidenheit ihren Aufruf, daß sie sich nicht nur von den Schenken, sondern auch von dem anderen Verbotenen fernhalten und ein Leben in Keuschheit und guten Sitten führen sollen, so daß sie den anderen Vorbild und Beispiel im Guten sind; denn wenn sie durch Deine Nachlässigkeit wieder in diese verbotene Lebensführung zurückfallen, wirst Du dafür kanonisch zur Rechenschaft gezogen und Gefahr laufen, von Deinem Priesteramt suspendiert zu werden.

Weiters befiehlt unsere Bescheidenheit auch dieses, daß (nämlich) alle Priester im Bereich dieses Sprengels vor allem äußerst sorgfältig handeln sollen und diesen ihren Exarchen zu Heiligenfesten und Totengedenken und Letzten Ölungen und, kurz gesagt, zu allen übrigen heiligen zeremoniellen Handlungen einladen sollen, damit er darüber die Aufsicht führe und wache, daß diese gebührlich und so, wie es Gott gefällt, und gemäß der kirchlichen Ordnung und Tradition vonstatten gehen. Wer aber von ihnen nach diesem Befehl unserer Bescheidenheit (erweislich) nicht in diesem Sinne handelt, sondern in den genannten Punkten Übertretungen begeht, soll von seinem Priesteramt suspendiert und durch eine weitere Strafe gemaßregelt werden, und was ohne dessen (= des Exarchen) Anwesenheit heimlich durchgeführt wird, soll als nicht durchgeführt gelten.

Die Gnade Gottes sei mit Dir.

(Das Original) hatte auch die (Menologemunterschrift) von der ehrwürdigen Hand des Patriarchen: „Im Monat September der 6. Indiktion“.

187

Fünf Metropolitenunterschriften.

V 47, f. 145ʳ ᵛ — ⟨Dezember 1353—Juni 1354⟩[1]
DAR. Reg. 2333

ed. O. KRESTEN, Fünf nachgezeichnete Metropolitenunterschriften aus der ersten Amtsperiode des Patriarchen Philotheos Kokkinos im Patriarchatsregister von Konstantinopel, in: Franz Miklosich (Miklošič). Neue Studien und Materialien anläßlich seines 100. Todestages, hrsg. von W. LUKAN. Wien 1991 (= *Österreichische Osthefte*, Jahrgang 33, Sonderheft), 167—199 (Text 173—174) (nach V) (im folgenden im Apparat: KRESTEN)

145ʳ …] *Μητροφάνης †.*

|(2) *† Ὁ μ(ητ)ροπολ(ί)της Βερροί(ας)* |(3) *(καὶ) ὑπέρτιμος* |(4) *Διονυ(ύσ)ι(ος) †.*

|(5) *† Ὁ ταπεινὸς μ(ητ)ροπολίτης Μΰρων* |(6) *καὶ ὑπέρτιμος καὶ ἔξαρχος πάσης* |(7) *Λικίας Ἀρσένιος †.* ||

145ᵛ (8) *† Ὁ μ(ητ)ροπολ(ίτης) Ῥόδ(ου), ἔξαρχ(ος)* |(9) *τῶν Κϋκλάδων νήσσων (καὶ)* |(10) *ϋπέρτϊμ(ος) Ἰω(άνν)(ης) †.*

|(11) *† Ο ταπειν(ὸς)*

|(12) *† Ὁ ταπεινὸς μ(ητ)ροπ(ο)λ(ί)τ(ης) Ἄπρω καὶ ὑ*|(13)*πέρτϊμος Γαβριήλ †.* ||

---

1 initium deest in V; † Ὁ μητροπολίτης Μελενίκου, ὑπέρτιμος καὶ καθολικὸς κριτὴς τῶν Ῥωμαίων suppl. KRESTEN in dissertatione laudata (p. 173) conferens subscriptionem huius metropolitae in tomo anni 1351 scriptam (cf. KRESTEN 190, adn. 50) || 8 post ταπεινός desinit; vacat spatium unius lineae; secundum usum secretariorum illius temporis verisimillime inter metropolitas Rhodi et Apro metropolita Didymoteichi vel Mitylenae vel Selymbriae affertur; cf. KRESTEN 179 et 190, adn. 52

---

[1] KRESTEN, Fünf nachgezeichnete Metropolitenunterschriften 185. — Dort (S. 168ff.) auch Hinweise zu den Manipulationen des Patriarchen Kallistos I., die nicht nur das vorliegende, dislozierte f. 145, sondern alle Dokumente aus dem ersten Patriarchat des Philotheos Kokkinos, d. h. die Folien 146—158, erfaßten; im folgenden wird im Apparat nur im Falle von Textverlust auf diese Eingriffe verwiesen.

187

… Metrophanes.

Der Metropolit von Berrhoia und Hypertimos Dionysios.

Der demütige Metropolit von Myra und Hypertimos und Exarchos von ganz Lykien, Arsenios.

Der Metropolit von Rhodos, Exarchos der Kykladeninseln und Hypertimos, Ioannes.

Der demütige …

Der demütige Metropolit von Apros und Hypertimos Gabriel.

188

Philotheos Kokkinos und die Synode übertragen dem Metropoliten Germanos (Gerasimos?) von Traianupolis die Verwaltung der Metropolis Peritheorion auf Lebenszeit.

V 47, f. 146ʳ	μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος ζʹ (Z. 38)
MM I 325—326 (Nr. 142)	Dezember ⟨1353⟩
PG 152, 1327—1328	συνοδικὴ πρᾶξις (Z. 34—35)
Dar. Reg. 2352	

146ʳ † Ἡ μετριότης ἡμῶν ὁμοῦ μὲν προνοουμένη τοῦ ἱερωτάτου μητροπολίτου Τραϊανουπόλεως, ὑπερτίμου, ἀγαπητοῦ κατὰ Κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, μὴ τὸ προσῆκον ἔχοντος κατάντημα ἀπὸ τῆς παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ συγχύσεως, ὁμοῦ δὲ καὶ τοῦ ἐν τῷ Περιθεωρίῳ χριστωνύμου λαοῦ προμηθευομένη χηρευούσης ἤδη τῆς ἐκεῖσε ἁγιωτάτης ἐκκλησίας, ὡς ἂν καὶ οὗτοι ἀρχιερατικῆς ἀπολαύωσιν ἐπιστασίας καὶ ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἐπειδὴ ἀπὸ τῆς ἐνούσης αὐτῷ ἀρετῆς καὶ περὶ τὰ πνευματικὰ ἐπιστήμης καὶ τῶν λοιπῶν θεοφίλων προτερημάτων καὶ τῆς καθαρᾶς εὐνοίας, ἣν κατὰ τὸ εἰκὸς καὶ ὀφειλόμενον ἔδειξε καὶ δεικνύει μετὰ τοῦ προσήκοντος ζήλου τῷ ἐνθέῳ κράτει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πολλὴν ὠφέλειαν μέλλει προξενεῖν τῷ τοιούτῳ λαῷ, συνδια|σκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν συνοδικῶς μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Φιλαδελφείας, τοῦ Μελενίκου, τοῦ Ποντοηρακλείας, τοῦ Ῥόδου, τοῦ Σηλυβρίας, τοῦ Ἄπρω, τοῦ Αἴνου, τοῦ Βρύσεως, τοῦ Τενέδου καὶ τοῦ Μάκρης, ἐπεὶ καὶ ὀφειλομένως ἔχομεν ἐπικουρεῖν καὶ κατατοδυνατὸν συνεφάπτεσθαι τοῖς ἀδελφὰ φρονοῦσιν ἡμῖν καὶ τὰς ἐκκλησιαστικὰς φροντίδας συνδιαφέρουσιν ἐν τοῖς ἀναγκαίοις καὶ κατεπείγουσι, διαταῦτα κατεπράξατο γνώμῃ κοινῇ ἐπιλαβέσθαι καὶ κατασχεῖν τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Τραϊανουπόλεως καὶ ὑπέρτιμον ἐπιδόσεως λόγῳ χηρευούσης, ὡς εἴρηται, τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας Περιθεωρίου ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ. πολλῷ γὰρ μᾶλλον δίκαιον ἂν εἴη ἐκ τῶν ἐνόντων αὐτῷ περιγενέσθαι βοήθειαν ἢ ἐκ τῶν ἀλλοτρίων ἐπιζητεῖν.

---

in suprema margine f. 146ʳ Τραϊανουπόλεως V; Τραϊανούπολις Dar. Reg. || 3 ἔχοντος ex corr. V || 20 ἐπιλαβέσθαι] litt. θαι non leguntur || 24 αὐτῷ perperam iteravit V

188

Sorge des Patriarchen um den unterkunftlosen Metropoliten von Traianupolis sowie um die verwaiste Kirche von Peritheorion (1—8). *Wegen seiner Tugenden und seiner Loyalität dem Kaiser gegenüber Übertragung der Metropolis Peritheorion durch den Patriarchen und die Synode an den Metropoliten von Traianupolis* (8—24). *Seine dortigen Rechte* (25—29). *Aufforderung an die Gläubigen, ihm mit Respekt zu begegnen und in geistlichen Dingen gehorsam zu sein* (29—33). *Ausstellungsvermerk* (34—37) *und Datierung* (38—39).

Die Fürsorge unserer Bescheidenheit gilt einerseits dem heiligsten Metropoliten von Traianupolis, dem Hypertimos, im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, dem es aufgrund des durch die vielen Sünden mit der Duldung Gottes entstandenen außergewöhnlichen Zustandes an einer gebührenden Unterkunft fehlt, andererseits sorgt sie auch für das christliche Volk von Peritheorion — die dortige heiligste Kirche ist ja verwaist —, damit dieses Führung und Aufsicht durch einen Erzpriester und die von dort ausgehende Heiligung genießt. Er (= der Metropolit) wird nämlich aufgrund seiner Tugend und seines Wissens in geistlichen Belangen sowie aufgrund seiner übrigen gottgefälligen Vorzüge und der lauteren Loyalität, die er, wie es sich gehört und seine Pflicht ist, mit dem gebührenden Eifer der gotterfüllten Majestät meines mächtigsten und heiligen Kaisers zeigte und zeigt, diesem Volk vielfältigen Nutzen bringen. Unsere Bescheidenheit hat in seiner Angelegenheit mit den in der Synode um sie versammelten heiligsten Erzpriestern von Philadelpheia, Melenikon, Pontoherakleia, Rhodos, Selymbria, Apros, Ainos, Brysis, Tenedos und Makre beraten. Da wir zudem die Verpflichtung haben, denjenigen Hilfe und nach Kräften Beistand zu gewähren, die uns brüderlich gesonnen sind und die kirchlichen Sorgen in Not und Bedrängnis (mit uns) mittragen, verfügte (unsere Bescheidenheit) deswegen in gemeinsamem Entschluß, daß ebendieser heiligste Metropolit von Traianupolis und Hypertimos jene, wie gesagt, verwaiste heiligste Kirche von Peritheorion als Epidosis übernehmen und bis an sein Lebensende innehaben soll. Denn es dürfte wohl wesentlich gerechter sein, ihm aus dem Verfügbaren Hilfe zuteil werden zu lassen, als sie anderswo zu suchen.

Ἐπιλήψεται τοίνυν αὐτῆς μετὰ πάντων τῶν ὑπ' αὐτὴν κτημάτων καὶ πραγμάτων ἱερουργήσει τὲ ἐν αὐτῇ καὶ ἀναγνώστας σφραγίσει καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς ἀπὸ τῶν ὑπ' αὐτὴν χειροτονήσει καὶ πάντα διαπράξεται ἁπλῶς, ὅσα καὶ γνήσιος ταύτης ἀρχιερεύς, δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφειλόντων τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱερωμένων, ἀρχόντων, μοναχῶν καὶ λαϊκῶν, τὸ προσῆκον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ ὑπείκειν, ἐφ' οἷς πρὸς αὐτοὺς μέλλει λέγειν καὶ εἰσηγεῖσθαι ἀφορῶσιν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Τραϊανουπόλεως καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ Κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, ἐπιδέδοται.

† Εἶχε τό· *μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος ζ'* διὰ τιμίας πατριαρχικῆς χειρός †.

30 μοναχῶν καὶ λαϊκῶν] ordo vocum λαϊκῶν et μοναχῶν in V litt. β et α suprascriptis mutatus

189

Philotheos Kokkinos und die Synode übertragen dem Metropoliten von Pegai die Verwaltung der Metropolis Sozopolis auf Lebenszeit.

V 47, f. 146r	μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ζ' (Z. 36)
MM I 330—331 (Nr. 146)	Februar ⟨1354⟩
PG 152, 1230—1231	συνοδικὴ πρᾶξις (Z. 33—34)
DAR. Reg. 2357	

Erwähnte Urkunden und Gesetze:

a) Synodalpraxis des Patriarchen ⟨Kallistos I.; nach August 1351, vor August 1353[1]; keine eigene Nummer bei DAR. Reg.⟩: Der Metropolit von Pegai erhält Sozopolis als Epidosis (συνοδικὴ πρᾶξις: Z. 10).

[1] Ein Metropolit von Pegai ist in der Unterschriftenliste des Tomos von 1351 vertreten (vgl. DAR. Reg. 2357); gemeinsam mit dem Ende des ersten Patriarchats von Kallistos I. ergibt sich obige chronologische Eingrenzung.

Er soll sie (= die Kirche) also mit allen ihren Besitzungen und Gütern übernehmen, dort als Priester wirken, Anagnosten einsetzen, Subdiakone, Diakone und Priester aus der Mitte der ihr unterstehenden (Kleriker) weihen und einfach alles tun, was ihr legitimer Erzpriester (tut), mit Ausnahme der Einsetzung ins heilige Synthronon. Dabei sollen die Kleriker und alle übrigen — Priester, (kirchliche) Beamte, Mönche und Laien — ihm den gebührenden Respekt und die Ehre erweisen und ihm in allem gehorchen, was er ihnen zum Nutzen ihrer Seelen sagen und vortragen wird.

Zur diesbezüglichen Sicherheit wurde nämlich auch unsere vorliegende Synodalpraxis dem genannten heiligsten Metropoliten von Traianupolis und Hypertimos, im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, ausgehändigt.

† (Das Original) hatte von der ehrwürdigen Hand des Patriarchen (die Menologemunterschrift): „Im Monat Dezember der 7. Indiktion".

189

Überschrift (1). *Vorhergehende Übertragung der Metropolis Sozopolis an den unterkunftlosen Metropoliten von Pegai* (2—11). *Ansuchen desselben, daß diese Übertragung auf Lebenszeit erfolge* (12—13). *Sorge des Patriarchen um notleidende Brüder sowie um die geistliche Betreuung des Kirchenvolks* (13—19). *Eignung des Metropoliten von Pegai für dieses Amt* (19—21). *Gewährung des Ansuchens und Übertragung der Metropolis Sozopolis auf Lebenszeit an den Metropoliten von Pegai* (21—23). *Seine dortigen Rechte* (24—28). *Verpflichtungen des Kirchenvolkes ihm gegenüber* (29—32). *Ausstellungsvermerk* (33—35). *Datierung* (36).

† Πηγῶν διὰ τὴν Σωζόπολιν

† Ἐπεὶ καὶ τὰ τῆς ἁγιωτάτης μητροπόλεως Πηγῶν ὑπὸ τῆς ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ τῆς τῶν ἐχθρῶν ἐπιθέσεως παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν εἰς τὸ μηδαμῇ μηδαμῶς κατήντησε καὶ οὐδ᾽ ἀπὸ λειψάνων δή τινων ἐγνωρίζετο, ὁ δὲ ταύτην λαχὼν ἱερώτατος ἀρχιερεύς, ὑπέρτιμος, ἀγαπητὸς ἡμῶν κατὰ Κύριον ἀδελφὸς καὶ συλλειτουργός, οὐ μόνον ἐν στερήσει καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐτύγχανεν, ἀλλ᾽ οὐδὲ καταντήματος γοῦν εὐπορῶν ἦν· κἀντεῦθεν προμηθείας συνοδικῶς ὑπὲρ αὐτοῦ γενομένης καὶ πρότερον ἐγένετο συνοδικὴ πρᾶξις, ὥστε κατὰ λόγον ἐπιδόσεως κατέχειν αὐτὸν τὴν ἁγιωτάτην μητρόπολιν Σωζοπόλεως γνησίου ἀρχιερέως χηρεύουσαν, ἐδεήθη δὲ ἀρτίως ὁ ῥηθεὶς ἱερώτατος ἀρχιερεύς, ἵνα καὶ ἐφ᾽ ὅρῳ τῆς ζωῆς αὐτοῦ κατέχῃ τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν Σωζοπόλεως. ἡ μετριότης ἡμῶν πάνυ τοι προθυμουμένη καὶ βουλομένη Χριστοῦ χάριτι ἐπικουρίαν ἐπιδείκνυσθαι περὶ τοὺς ἀπορουμένους τῶν ἀδελφῶν, περὶ οὓς καὶ τὸ ἐκκλησιαστικὸν χρέος ἀπαιτεῖ μάλιστα, | καὶ ἅμα προμηθευομένη καὶ αὐτή, ὅπως ἂν καὶ ὁ κατὰ τὴν Σωζόπολιν εὑρισκόμενος χριστώνυμος λαὸς ἀρχιερατικῆς ἀπολαύωσιν ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἅτε δὴ τοῦ δηλωθέντος ἁγιωτάτου ἀρχιερέως Πηγῶν τῇ ἐνούσῃ αὐτῷ περὶ τὰ πνευματικὰ ἐπιστήμῃ ἱκανῶς ἔχοντος ὁδηγεῖν ψυχὰς πρὸς τὰ θεοφιλῆ καὶ σωτήρια, διὰ ταῦτα κοινῇ συνοδικῇ γνώμῃ κατεπράξατο ἐπειλημμένον εἶναι αὐτὸν ἐπιδόσεως λόγῳ καὶ ἐφ᾽ ὅρῳ τῆς ζωῆς αὐτοῦ ἀπάρτι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας Σωζοπόλεως.

Ἐπιλήψεται τοίνυν οὗτος αὐτῆς τοιουτοτρόπως μετὰ πάντων τῶν ὑπ᾽ αὐτὴν ἱερουργήσει τὲ ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς ἀπὸ τῶν ὑπ᾽ αὐτὴν χειροτονήσει καὶ ἁπλῶς πάντα ἐν αὐτῇ καταπράξεται, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῆς ἐφ᾽ ὅρῳ τῆς ζωῆς αὐτοῦ, δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως ὡς κατὰ λόγον ἐπιδόσεως, ὀφειλόντων καὶ τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱερωμένων καὶ λαϊκῶν, τὸ προσῆκον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ ὑπείκειν καὶ πειθαρχεῖν, ἐφ᾽ οἷς πρὸς αὐτοὺς μέλλει παραινεῖν καὶ εἰσηγεῖσθαι ἀφορῶσιν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν.

1 titulum in fine documenti praecedentis scripsit V; om. MM

(Metropolit von) Pegai für Sozopolis

Auch die heiligste Metropolis Pegai war durch die entstandene außergewöhnliche Lage und durch den Angriff der Feinde mit der Duldung Gottes wegen der Fülle der Sünden fast völlig vernichtet, so daß sie nicht einmal mehr an ihren Resten zu erkennen war. Ihrem heiligsten Erzpriester, dem Hypertimos, unserem im Herrn geliebten priesterlichen Mitbruder, mangelte es selbst am Lebensnotwendigen, ja er verfügte nicht einmal über eine Unterkunft. Daher erhielt er schon zuvor die Unterstützung der Synode, und es wurde eine Synodalpraxis errichtet, gemäß der er die heiligste Metropolis Sozopolis als Epidosis innehaben sollte, die ohne einen legitimen Erzpriester war. Es hat nun vor kurzem der genannte heiligste Erzpriester darum gebeten, daß er jene heiligste Kirche von Sozopolis auch bis an sein Lebensende innehaben dürfe. Unsere Bescheidenheit strebt jederzeit bereitwillig danach, durch die Gnade Christi die notleidenden Brüder zu unterstützen, deren Unterstützung auch eine vordringliche kirchliche Pflicht ist. Gleichzeitig sorgt sie (= unsere Bescheidenheit) auch dafür, daß das in Sozopolis befindliche christliche Volk die Aufsicht durch einen Erzpriester und die von dort ausgehende Heiligung genieße. Da (weiters) der genannte heiligste Erzpriester von Pegai wegen des ihm in geistlichen Belangen innewohnenden Wissens geeignet ist, Seelen zum Gottgefälligen und Heilbringenden zu führen, verfügte deswegen (unsere Bescheidenheit) in gemeinsamem Entschluß mit der Synode, daß er von jetzt an bis an sein Lebensende ebendiese heiligste Kirche von Sozopolis als Epidosis innehaben soll.

Er soll sie nun in diesem Sinne mit allem, was ihr gehört, übernehmen, in ihr als Priester wirken, Subdiakone, Diakone und Priester aus der Mitte der ihr unterstehenden (Kleriker) weihen, kurz alles wie ihr legitimer Erzpriester bis an sein Lebensende tun — mit Ausnahme der Einsetzung ins heilige Synthronon, da es sich ja um eine Epidosis handelt. Auch sollen die Kleriker und alle anderen, Geistliche und Laien, ihm den gebührenden Respekt und die Ehre erweisen, ihm gehorchen und ihm in allem Gehorsam leisten, wozu er sie zum Nutzen ihrer Seelen ermahnen und anleiten wird.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Πηγῶν καὶ ὑπερτίμῳ ἐπιδέδοται.

Εἶχε τό· *μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ζ′ †.* ||

190

Philotheos Kokkinos ermahnt das Volk von Peritheorion, dem Metropoliten Germanos (Gerasimos?) von Traianupolis zu gehorchen.

V 47, f. 146v	μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ′ (Z. 56)
MM I 331—333 (Nr. 147)	März ⟨1354⟩
PG 152, 1331—1332	(vgl. παρεγγυᾶται [Z. 18 und 54]
Dar. Reg. 2358	bzw. παρακελευόμεθα [Z. 39])

Erwähnte Urkunden und Gesetze:

a) Synodalpraxis des Patriarchen ⟨Philotheos Kokkinos; Dezember 1353; Dar. Reg. 2352⟩ (= oben, Nr. 188) für den Metropoliten ⟨Germanos (Gerasimos?)⟩ von Traianupolis (συνοδικὴ πρᾶξις: Z. 7)

b) kanonisches Verbot der Entziehung von kirchlichen Stiftungen (vgl. auch Nr. 184, erwähntes Gesetz i) (vgl. Testimonienapparat zu Z. 44—48)

c) kanonische Verfügungsberechtigung des Metropoliten in allen kirchlichen Angelegenheiten seiner Metropolis (vgl. Kanon Nr. 41 der Apostel* [Metzger III 288, 166—177]) (vgl. οἱ θεῖοι καὶ ἱεροὶ κανόνες [Z. 50—51]).

146r † Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης ἐκκλησίας Περιθεωρίου καὶ ὁ ὑπὸ τὴν ἐνορίαν ταύτης καὶ ἐπικράτειαν εὑρισκόμενος τοῦ Κυρίου λαός, ἱερωμένοι, ἄρχοντες, λαϊκοί, ἀγαπητὰ κατὰ Κύριον τέκνα τῆς ἡμῶν μετριότητος· χάριν, εἰρήνην, ἔλεος εὐθηνίαν τὲ τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ Θεοῦ παντοκράτορος.

Ἀπὸ τῆς ἀπολυθείσης συνοδικῆς πράξεως τῆς ἡμῶν μετριότητος μέλλετε γνωρίσειν, ὅπως ἐτάχθη εὑρίσκεσθαι ὁ ἱερώτατος μητροπολίτης Τραϊανουπόλεως εἰς τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν καὶ ὅπως περιέστη ἔχειν τοῦτον αὐτὴν εἰς κατάντημα. ὁ γοῦν τοιοῦτος ἱερώτατος ἀρχιερεὺς καὶ γεννηθεὶς καὶ παιδευθεὶς ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ

Zur diesbezüglichen Sicherheit ist nämlich auch unsere vorliegende Synodalpraxis dem genannten heiligsten Metropoliten von Pegai und Hypertimos ausgehändigt worden.

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat Februar der 7. Indiktion".

190

Vokativische Anrede der Empfänger (1—4). *Segenswünsche* (4—6). *Übertragung von Peritheorion auf den Metropoliten von Traianupolis aufgrund seiner Fähigkeiten und des Wohlwollens sowohl des Kaisers als auch des Patriarchen* (7—17). *Ankündigung seines Eintreffens in Peritheorion und Aufforderung zu freundlicher Aufnahme und Ehrbezeugung durch das Volk* (18—38). *Aufforderung zur Rückerstattung von entwendetem Kircheneigentum und Strafandrohung* (39—53). *Schlußgruß* (54—55). *Datierung* (56).

Frömmste Kleriker der heiligsten Kirche von Peritheorion und Volk des Herrn, das ihrem Sprengel und ihrer Herrschaft untersteht, Priester, (kirchliche) Beamte und Laien, im Herrn geliebte Kinder unserer Bescheidenheit! Unsere Bescheidenheit erbetet für Euch alle von Gott, dem Allherrscher, Gnade, Frieden, Erbarmen, materiellen Wohlstand und Seelenheil.

Durch die von unserer Bescheidenheit (zuvor) expedierte Synodalpraxis werdet Ihr erfahren, daß dem heiligsten Metropoliten von Traianupolis aufgetragen wurde, seinen Aufenthalt in dieser heiligsten Kirche zu nehmen und diese als Unterkunft zu haben. Dieser heiligste Erzpriester wurde also im gottgerühmten und gott-

μύλωνα ἢ περιβόλιον ἢ αὐτούργιον ἤ τι ἕτερον ἐκκλησιαστικὸν δίκαιον, ἀπολύσῃ τοῦτο ἀπροφασίστως πρὸς αὐτόν, ἐπειδὴ τὰ ἀφιερωμένα τῷ Θεῷ ἀναπόσπαστα καὶ ἀναφαίρετα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωνται, καὶ ὁ χεῖρα πλεονέκτιν καὶ ἅρπαγα ἐπιβάλλειν τούτοις ἐπιχειρῶν ὡς ἱερόσυλος κρίνεται παρ' αὐτῶν καὶ ἐπιτιμίῳ καθυποβάλλεται. ὃ δὴ ἐπιτίμιον ἀκολούθως καὶ ἡ μετριότης ἡμῶν ἐπανατείνεται κατὰ τῶν | τοιούτων, μέχρις ἂν φέροντες ἐπανασώσωσι τῇ ἐκκλησίᾳ τὰ παρ' αὐτῶν ἀφαιρεθέντα. κατὰ γὰρ τὴν τῶν αὐτῶν θείων καὶ ἱερῶν κανόνων παρακέλευσιν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης ὀφείλει ἔχειν τὴν φροντίδα καὶ τὴν διοίκησιν πάντων τῶν τῆς ἐκκλησίας πραγμάτων.

Ποιεῖτε τοίνυν ἐπιμελῶς, καθάπερ ἡ μετριότης ἡμῶν παρεγγυᾶται ὑμῖν, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴη μεθ' ὑμῶν.

Εἶχε τό· *μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ' †.* ||

44—48 ἐπειδὴ τὰ ἀφιερωμένα τῷ Θεῷ—καθυποβάλλεται] cf. linn. 159—162 documenti 184 huius editionis (τὰ γὰρ ἀφιερωμένα Θεῷ ἀναφαίρετα καὶ ἀναπόσπαστα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωνται, καὶ ὁ χεῖρα πλεονέκτιν καὶ ἅρπαγα τούτοις ἐπιβάλλειν ἐπιχειρῶν ὡς ἱερόσυλος ἄντικρυς κρίνεται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων)

---

43 αὐτούργιον] αὐτουργὸν MM; cf. Matses V 3 || post finem documenti tertia fere pars f. 146v scriptura caret

191

Philotheos Kokkinos befiehlt dem Metropoliten Makarios Chrysokephalos von Philadelpheia, das Nonnenkloster Tu Kyr David zu visitieren und die Nonne Angelina Senacherina von dort auszuweisen.

V 47, f. 147r	μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ' (Z. 48)
MM I 333—334 (Nr. 148)	März ⟨1354⟩
PG 152, 1333—1334	γράμμα (Z. 12)
Dar. Reg. 2359	

nen) produktives Grundstück (= Grünland) oder sonst einen Rechtsanspruch der Kirche, so soll er ihm dies ohne Widerrede herausgeben. Denn was Gott gestiftet wurde, muß für ewige Zeiten unentreißbar und unentziehbar bei denen bleiben, denen es gestiftet wurde, und wer versucht, seine habgierige und räuberische Hand daran zu legen, wird von ihnen (= den Kanones) dem Urteil und der Strafe als Kirchenräuber unterworfen. Diese Strafe droht ihnen folglich auch unsere Bescheidenheit an, bis sie der Kirche zurückgeben und rückerstatten, was sie ihr entzogen haben. Denn nach dem Gebot derselben göttlichen und heiligen Kanones hat die Sorge und Verwaltung aller kirchlichen Angelegenheiten dem genannten heiligsten Metropoliten zu obliegen.

Führt daher geflissentlich aus, was Euch unsere Bescheidenheit aufträgt, damit die Gnade Gottes mit Euch ist.

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat März der 7. Indiktion".

191

Vokativische Anrede des Empfängers (1—3). *Segenswünsche* (3). *Unzulässige Handlungen der Nonne Angelina Senacherina im Kloster Tu Kyr David* (4—9). *Besondere Verpflichtung des Patriarchen zur Obsorge für Nonnen* (9—11). *Übertragung der Aufsicht dieses Klosters an den Metropoliten von Philadelpheia* (11—14). *Pflicht des Metropoliten, für ein frommes Leben der Nonnen* (15—20), *die Ausweisung der Senacherina* (20—25) *und für die Wiederherstellung der Ordnung im Kloster und dessen wirtschaftliches Wohlergehen zu sorgen* (26—30). *Vertrauen des Patriarchen in den Metropoliten von Philadelpheia*

147r † Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη παρὰ Θεοῦ τῇ σῇ ἱερότητι.

Ἐπεὶ ἔφθασεν ἡ μοναχὴ ἡ ἐπονομαζομένη Ἀγγελίνα ἡ Σεναχηρίνα καὶ διεπράξατο καὶ εἰργάσατο εἰς τὴν αὐτόθι σεβασμίαν γυναικείαν πατριαρχικὴν μονὴν ἐπ᾽ ὀνόματι τετιμημένην τῆς ὑπεραγίου δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένην τοῦ κῦρ Δαυίδ, ὅσα δὴ καὶ ἐποίησεν, ἀνένδεκτα, οὐχ ὡς ἐχρῆν διατεθεῖσα, ἀλλὰ μᾶλλον καὶ ἐπὶ βλάβῃ ψυχικῇ τῶν ἐνασκουμένων ταύτῃ μοναχῶν, ἡ μετριότης ἡμῶν καὶ τῆς σωτηρίας μὲν ἁπάντων τῶν Χριστιανῶν φροντίζουσα Χριστοῦ χάριτι, μάλιστα δὲ τῶν μοναχῶν κατὰ Θεὸν προθεμένων καὶ ἐπαγγελλομένων βιοῦν, παραδηλοῖ καὶ ἀνατίθησι τῇ ἱερότητί σου διὰ τοῦ παρόντος γράμματος ἐπιλαβέσθαι τοῦδε τοῦ πατριαρχικοῦ μοναστηρίου τοῦ κῦρ Δαυὶδ καὶ ἔχειν τὴν ἐφορείαν τούτου καὶ πνευματικὴν ἐπίσκεψιν καὶ ἀνάκρισιν καὶ παντοίαν ἐπιμέλειαν τούτου καὶ προμήθειαν καὶ διὰ φροντίδος ποιεῖσθαι ἀπὸ τῆς ἐνούσης τῇ ἱερότητί σου σοφίας καὶ πνευματικῆς διδασκαλίας καὶ ἐπιστήμης, ὅπως ἂν αἱ ἐν τῷδε τῷ πατριαρχικῷ μοναστηρίῳ θεοφιλῶς ἀναστρέφοιντο καὶ κατὰ τὸ προσαρμόζον γυναιξὶν ἐπανῃρημέναις τὸν μονήρη βίον καὶ μόνῳ Θεῷ ἀφιερωμέναις κατὰ τὰς πρὸς αὐτὸν συνθήκας τούτων καὶ ἐπαγγελίας, ταύτην δὲ τὴν Σεναχηρίναν λυμηναμένην τὰς τῶν μοναχῶν ψυχὰς καὶ ἀνένδεκτα διαπραξαμένην ἐκτουαπεντεῦθεν ἀποδιώξῃς ἐκεῖθεν, ἵνα μὴ τῆς λύμης κακῶς μεταδῷ καὶ ταῖς ὑγιαινούσαις. τὸ γὰρ σπουδαζόμενον καὶ πραγματευόμενον ἡμῖν, ὡς οἶδε καὶ ἡ ἱερότης σου, σωτηρία ἐστὶ ψυχῶν, ἔνθα δὴ καὶ μᾶλλον πρὸ τῶν ἄλλων ὀφείλομεν. |

Ὡσαύτως ἐπιμελείσθω ἡ ἱερότης σου καί, ὅπως ἂν τὸ ῥηθὲν μοναστήριον εἰς τὴν προτέραν σὺν Θεῷ ἐπανέλθοι εὐταξίαν καὶ κατάστασιν καὶ τὰ ὑπ᾽ αὐτὸ κτήματα βελτιοῖντο καὶ ἐπαύξοιντο, ἐπανασωθεῖεν δὲ

---

6 ὑπεράγνου MM || 19 μονήρη] μοναχικὸν MM

(31—34). *Gehorsamspflicht der Nonnen gegenüber dem Metropoliten* (34—38). *Androhung von Sanktionen für Zuwiderhandelnde* (38 bis 41). *Schlußermahnung* (42—46). *Gekürzter Schlußgruß* (47). *Datierung* (48).

Heiligster Metropolit von Philadelpheia, Hypertimos und Exarchos von ganz Lydien, im Heiligen Geist geliebter priesterlicher Mitbruder unserer Bescheidenheit! Gnade und Friede möge Deiner Heiligkeit von Gott zuteil werden!

Die Nonne namens Angelina Senacherina hat in dem dortigen verehrungswürdigen patriarchalen Frauenkloster, das auf den Namen der überaus heiligen Herrin und Gottesmutter geweiht ist und Tu Kyr David genannt wird, die unzulässigen Handlungen begangen und getan, die sie eben getan hat, da ihre Einstellung nicht war, wie es hätte sein sollen, sondern eher noch zum Schaden der Seelen der in diesem (Kloster) fromm lebenden Nonnen (wirkte). Unsere Bescheidenheit, die mit Christi Gnade für das Heil aller Christen sorgt, im besonderen aber für die Nonnen, die (ja) den Vorsatz gefaßt und gelobt haben, ein Leben in Gott zu führen, befiehlt und trägt Deiner Heiligkeit durch das vorliegende Schreiben (daher) auf, dieses patriarchale Kloster Tu Kyr David zu übernehmen und dessen Aufsicht, geistliche Visitation, Jurisdiktion und jegliche Sorgfalt und Fürsorge dafür zu haben. Weiters sollst Du aus der Weisheit, der geistlichen Gelehrsamkeit und dem Wissen, die Deiner Heiligkeit innewohnen, dafür sorgen, daß die in diesem Patriarchalkloster (lebenden Nonnen) sich gottgefällig verhalten, wie es sich für Frauen gehört, die das Klosterleben gewählt und sich gemäß ihrem Gott geleisteten Versprechen und Gelöbnis jenem allein geweiht haben. Diese Senacherina aber, die die Seelen der Nonnen geschädigt und Unzulässiges getan hat, sollst Du für immer von dort verjagen, damit sie nicht in übler Weise die Gesunden mit dem Verderben ansteckt. Das, wonach wir streben und worum wir uns mühen, ist nämlich, wie auch Deine Heiligkeit weiß, die Rettung von Seelen (insbesondere dort), wo dies vor (allem) anderen unsere Schuldigkeit ist.

Ebenso soll sich Deine Heiligkeit auch darum bemühen, daß das erwähnte Kloster mit Gott in den früheren geordneten Zustand zurückkommt und seine Besitzungen verbessert und vermehrt wer-

καί, ὅσα ἔφθασαν τινὲς οἱῳδήτινι τρόπῳ καὶ κατέσχον ἀμετόχως καὶ δυναστείᾳ χρησάμενοι.

Θάρρος γὰρ ἔχει καὶ ἀκριβῆ πληροφορίαν ἡ μετριότης ἡμῶν, ὡς ταῖς θεαρέστοις {καὶ} ἐπιμελείαις τῆς ἱερότητός σου καὶ ἐν τούτῳ καὶ κατ' ἄμφω τὴν εἰς τὸ κρεῖττον ἐπίδοσιν καὶ ὠφέλειαν λήψεται τὸ δηλωθὲν πατριαρχικὸν μοναστήριον, ὀφειλουσῶν καὶ τῶν μοναχῶν κατὰ τό, ὅπερ ἔχουσι, χρέος ὑπείκειν καὶ πειθαρχεῖν τῇ ἱερότητί σου ἐν ἅπασιν. ἀποστολικαῖς γὰρ παραινέσεσιν ἐξακολουθεῖν μέλλουσιν, ὡς παρεγγυώμεθα καὶ ἅμα, ὡς τῆς πρὸς τὴν ἱερότητά σου αἰδοῦς καὶ εὐπειθείας αὐτῶν καὶ τιμῆς εἰς τὴν ἡμῶν μετριότητα διαβαινούσης καὶ ἀναφερομένης. ὅθεν καὶ οὐδεὶς ὀφείλει ἐπαγαγεῖν εἰς τοῦτο ἐμποδισμὸν τινὰ ἢ ἐναντίωσιν τῇ ἱερότητί σου, εἰ μὴ βούλοιτο, κἂν ὁποῖος ἄρα καὶ ᾖ, ἐκκλησιαστικῆς ἐπεξελεύσεως πειραθῆναι.

Ποιείτω τοίνυν ἐπιμελῶς καὶ ἀμεταθέτως ἡ ἱερότης σου κατὰ τὴν πρὸς αὐτὴν ἡμετέραν ἀνάθεσιν ἐπὶ λυσιτελείᾳ, ὡς δεδήλωται, τοῦ τοιούτου πατριαρχικοῦ μοναστηρίου, πρᾶγμα ποιεῖν μέλλουσα καὶ τούτου ἕνεκα εἴς τε ἀρέσκειαν τοῦ Θεοῦ καὶ πολλὴν ἀποδοχὴν τῆς ἡμῶν μετριότητος.

Ἔρρωσο κατὰ Κύριον ⟨± 20⟩.

Εἶχε τό· *μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ' †.*

37—38 τῆς ... τιμῆς ... ἀναφερομένης] cf. adnotationem nostram ad linn. 23—24 documenti praecedentis pertinentem

---

47 post Κύριον spatium ca. 20 litt. habet V

192

Philotheos Kokkinos überträgt dem Metropoliten Makarios Chrysokephalos von Philadelpheia die Besorgung der Kirchenrechte in Palaia Phokaia.

V 47, f. 147ʳ	μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ' (Z. 23)
MM I 334—335 (Nr. 149)	März ⟨1354⟩
PG 152, 1334	γράμμα (Z. 1)
Dar. Reg. 2360	

den und weiters alles, was etwa einige auf welche Art auch immer unbefugt und unter Gewaltanwendung in Besitz genommen haben, zurückerstattet wird.

Unsere Bescheidenheit vertraut nämlich darauf, wovon sie genaue Kenntnis hat, daß durch die gottgefälligen Bemühungen Deiner Heiligkeit auch in dieser Hinsicht das besagte patriarchale Kloster in beiden (genannten) Belangen die Förderung zum Besseren und Nutzen erhalten wird, wobei sich die Nonnen gemäß ihrer Verpflichtung Deiner Heiligkeit in allem unterstellen und gehorchen sollen. Denn sie werden apostolischen Ermahnungen folgen, wie wir zugleich auftragen, da die Deiner Heiligkeit von ihnen erwiesene Ehrfurcht und ihr Gehorsam und ihre Ehrerbietung auf unsere Bescheidenheit übergeht und auf sie Bezug nimmt. Aus diesem Grund darf auch niemand Deine Heiligkeit darin hindern oder sich ihr entgegenstellen, wenn er, wer auch immer es sei, nicht kirchliche Strafen erfahren will.

Deine Heiligkeit handle nun sorgfältig und unverzüglich gemäß unserem Auftrag an sie zum Nutzen, wie gesagt, dieses Patriarchalklosters. Sie wird dadurch zu Gottes Wohlgefallen und zur vollen Zufriedenheit unserer Bescheidenheit handeln.

Lebe wohl im Herrn!

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat März der 7. Indiktion".

192

Übertragung der Verwaltung von Palaia Phokaia an den Metropoliten von Philadelpheia (1—7). *Erlaubnis, einen Beauftragten seiner Wahl zur Besorgung der Kirchenrechte zu ernennen* (7—10). *Erlaubis, in den verwaisten Kirchen als Priester zu wirken und Kleriker zu weihen* (11—16). *Verpflichtung des Kirchenvolks von Palaia Phokaia zu Gehorsam ihm gegenüber und zur Leistung der kirchlichen Abgaben* (16 bis 21). *Gekürzter Ausstellungsvermerk* (22). *Datierung* (23).

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν ἀπολύουσα γράμμα παρακελεύεται δι᾽ αὐτοῦ, ὥστε διοικεῖν τὰ τῆς Παλαιᾶς Φωκαίας ἐκκλησιαστικὰ δίκαια τὸν ἱερώτατον μητροπολίτην Φιλαδελφείας, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κατὰ τὴν ἐνοῦσαν αὐτῷ Χριστοῦ χάριτι σοφίαν καὶ ἀρετὴν καὶ πνευματικὴν ἐπιστήμην καὶ διὰ φροντίδος τίθεσθαι τὴν σωτηρίαν τῶν ἐκεῖ εὑρισκομένων Χριστιανῶν, ἔχειν δὲ αὐτὸν δὴ τὸν ἱερώτατον ἀρχιερέα καὶ ὑπέρτιμον καὶ ἐπαδείας ἀποτάττειν ἐπὶ τῇ διεξαγωγῇ τῶν τοιούτων ἐκκλησιαστικῶν δικαίων καὶ ἐνοχῶν, ὃν ἂν ἐθέλοι καὶ διακρίνοι ἱκανὸν καὶ ἁρμόδιον ἐπὶ τούτῳ. |

Ὡσαύτως ἐπιτρέπομεν καὶ ἐκχωροῦμεν τῷδε τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας καὶ ὑπερτίμῳ, ἵνα καὶ ἐν ταῖς ἐνορίαις καὶ ἐπικρατείαις τῶν χηρευουσῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ μὴ ἐπιδόσεως λόγῳ πρός τινας δοθεισῶν ἱερουργῇ ἐν αὐταῖς καὶ σφραγίζῃ ἀναγνώστας καὶ ἀπὸ τῶν ἐκεῖσε καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς χειροτονῇ. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς Παλαιᾶς Φωκαίας, πρεσβύτεροι, μοναχοὶ καὶ λαϊκοὶ παντοίαν αἰδῶ καὶ τιμὴν ἀπονέμειν αὐτῷ καὶ ὑπείκειν καὶ πειθαρχεῖν, ἐφ᾽ οἷς μέλλει λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς λυσιτελέσιν, ἀποδιδόναι τὲ καὶ τὸ ἀνῆκον κανονικὸν καὶ εἴ τι ἄλλο σύνηθές ἐστι καὶ τεταγμένον ἀποδίδοσθαι παρ᾽ αὐτῶν τῷ μέρει τῆς ἐκκλησίας.

Ἐπὶ τούτῳ γὰρ ⟨...⟩
Εἶχε τό· *μηνὶ μαρτίῳ ἰνδικτιῶνος ζ´ †.* ||

5—6 cf. linn. 16—17 et 15 documenti praecedentis

15 καὶ[1] om. MM || 22 τοῦτο V, MM | solum initium formulae scripsit V || 23 ultima quarta pars f. 147^{r} et totum f. 147^{v} scriptura carent

193

Philotheos Kokkinos und die Synode bekräftigen die Ernennung des Bischofs Aleksej von Vladimir zum Metropoliten von Kiev und ganz Rußland und kündigen den Angehörigen der Metropolis sein Kommen an.

Unsere Bescheidenheit befiehlt mit der Expedierung der vorliegenden Urkunde, daß der heiligste Metropolit von Philadelpheia, Hypertimos und Exarchos von ganz Lydien, im Heiligen Geist geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, die kirchlichen Rechte von Palaia Phokaia gemäß der ihm durch die Gnade Christi innewohnenden Weisheit und Tugend und seinem geistlichen Wissen wahrnehmen und sich um das Heil der dortigen Christen sorgen soll. Auch soll es ebendiesem heiligsten Erzpriester und Hypertimos erlaubt sein, zur Wahrnehmung dieser kirchlichen Rechte und Verpflichtungen, wen auch immer er will und dafür geeignet und passend hält, einzusetzen.

Ebenso überlassen und gestatten wir diesem heiligsten Metropoliten von Philadelpheia und Hypertimos, in den Sprengeln und Herrschaftsbereichen der verwaisten heiligsten Kirchen, die an niemanden als Epidosis verliehen worden sind, das Priesteramt auszuüben und Anagnosten aus den dortigen (Gläubigen) einzusetzen sowie Subdiakone, Diakone und Priester zu weihen. Daher sollen die Kleriker von Palaia Phokaia, Priester, Mönche und Laien ihm jedwede Ehrfurcht und Ehre erweisen und ihm in allem unbedingt Gehorsam leisten, was er ihnen zu ihrem Nutzen sagen und vortragen wird. Das gebührende Kanonikon und alles, was sonst noch an Abgaben (für die Kirche) üblich und festgesetzt ist, soll von ihnen an die Kirche entrichtet werden.

Zu diesem Zweck nämlich ...

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat März der 7. Indiktion".

193

Überschrift (1—3). *Sorge der katholischen apostolischen Kirche für entfernte Lokalkirchen* (4—14). *Besondere Wertschätzung für die Metropolis von Rußland aufgrund ihrer Größe und ihrer schwierigen Lage* (15—21). *Bemühen der Kirche, entsprechend der Gepflogenheit in*

V 47, f. 148^{r}—149^{r}
MM I 336—340 (Nr. 151)
PG 152, 1335—1338
Dar. Reg. 2363
Mazal 358

τῇ λ′ τοῦ ἰουνίου ἰνδικτιῶνος ζ′
τοῦ ,ς$^{\text{οῦ}}$ω$^{\text{οῦ}}$ξβ$^{\text{ου}}$ ἔτους (Z. 137)
30. Juni 6872 (= 1354)
συνοδικὴ πρᾶξις (Z. 133)

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg ^{2}1908, Prilož., 41—51 (Nr. 9) (nach MM) (im folgenden nicht herangezogen)

Erwähnte Urkunden und Gesetze:

a) Schreiben des Metropoliten Theognostos von Kiev an die Große Kirche ⟨nach 6. Dezember 1351, vor März 1353⟩: Theognostos empfiehlt Bischof Aleksej von Vladimir und schlägt ihn als seinen Nachfolger vor (vgl. ἔγραψε καὶ παρεκάλεσεν εἰς τὴν ἁγιωτάτην τοῦ Θεοῦ Μεγάλην Ἐκκλησίαν καὶ συνέστησε τοῦτον [Z. 41—43]) (vgl. auch Nr. 194, erwähnte Urkunde a; Nr. 196, erwähnte Urkunde b)
b) Schreiben des Großfürsten Ivan ⟨II. Ivanovič von Moskau⟩ an den Kaiser ⟨Ioannes VI. Kantakuzenos; kurz vor Juni 1354 (vgl. ἀρτίως [Z. 51])⟩: Empfehlung für Aleksej von Vladimir (vgl. ἔγραψε [Z. 50])
c) Schreiben des Großfürsten Ivan ⟨II. Ivanovič von Moskau⟩ an die Große Kirche ⟨kurz vor Juni 1354 (vgl. ἀρτίως [Z. 51])⟩: Empfehlung für Aleksej von Vladimir (vgl. ἔγραψε [Z. 50]) (möglicherweise kein eigenes Schreiben, sondern Hinweis auf eine doppelte Adressierung von Schreiben b)
d) Entscheidung des Kaisers ⟨Ioannes VI. Kantakuzenos; kurz vor Juni 1354; fehlt bei Dö. Reg.⟩, Aleksej von Vladimir zum Metropoliten von Kiev und ganz Rußland zu weihen (vgl. εὐδοκίᾳ καὶ ἐπικρίσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος [Z. 79—80]) (vgl. auch Nr. 194, erwähnte Urkunde b; Nr. 196, erwähnte Urkunde c)
e) Kanon ⟨Nr. 41 der Apostel*; Metzger III 288, 166—177⟩ (οἱ θεῖοι καὶ ἱεροὶ κανόνες: Z. 106—107)
f) kanonische Verpflichtung (des Metropoliten von Kiev), sich einmal jährlich zur Synode nach Konstantinopel zu begeben (nicht identifiziert) (vgl. ἀναγκαίως ἔχει ἐπιδημεῖν ἐνταῦθα, ὡς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται [Z. 117—118]), um der Verpflichtung zur Gehorsamsbezeugung nachzukommen (vgl. G. Potz, Patriarch und Synode in Konstantinopel. Das Verfassungsrecht des ökumenischen Patriarchates. Wien 1971, 60)
g) vom Metropoliten von Kiev und ganz Rußland im Falle der Verhinderung des persönlichen Erscheinens in Konstantinopel auszustellende Schreiben zur Behandlung anfallender kirchlicher Fragen (ἔγγραφοι καὶ κατησφαλισμέναι ἀναφοραί: Z. 129—130).

Konstantinopel einen geeigneten Erzpriester für Rußland auszuwählen (22—32). *Besondere Wertschätzung des verstorbenen Metropoliten Theognostos von Kiev für seinen Mitarbeiter Bischof Alexios von Vladimir* (33—40). *Schreiben des Theognostos an die Synode mit dem Ersuchen, Alexios zu seinem Nachfolger zu ernennen* (40—44). *Bestätigung der Angaben zu Alexios durch Nachforschungen des Patriarchen* (44—50). *Schreiben von Großfürst Ioannes an Kaiser und Synode zugunsten des Alexios* (50—54). *Wahl des Alexios zum Metropoliten von Kiev und ganz Rußland aufgrund dieser Empfehlungen* (54—57). *Betonung des Ausnahmecharakters dieser Wahl und Hinweis darauf, daß zukünftige Besetzungen aus der Reihe der in Konstantinopel weilenden Kandidaten mit verbürgten Fähigkeiten erfolgen würden* (57 bis 66). *Ermahnung an die zukünftigen Patriarchen, sich an dieses Gebot zu halten* (66—69). *Ernennung des Alexios zum Metropoliten von Kiev und ganz Rußland durch den Patriarchen und die Synode mit der Billigung des Kaisers* (70—82). *Entsendung des Alexios als Metropolit nach Rußland, als ob die Wahl aus der Mitte der in Konstantinopel Weilenden erfogt wäre* (83—89). *Ermahnung des Klerus, der Fürsten und des Volkes von Rußland zu Ehrerbietung und Gehorsam ihm gegenüber* (90—102). *Aufzählung seiner Rechte als Metropolit* (103 bis 111). *Verpflichtung des Kirchenvolks zu Gehorsam* (111—116). *Erlaubnis, aufgrund der besonderen Umstände lediglich alle zwei Jahre vor der Synode zu erscheinen* (117—125). *Verpflichtung, Stellvertreter mit beglaubigten Schreiben nach Konstantinopel zu entsenden, wenn er persönlich verhindert sein sollte, um anfallende Fragen zu lösen* (126 bis 133). *Ausstellungsvermerk* (133—136). *Expeditionsvermerk mit Datierung* (137). *Unterschrift* (138—140).

148r Ἡ συνοδικῶς γεγονυῖα μετάθεσις τοῦ ἐπισκόπου Βλαντιμήρου, κυροῦ Ἀλεξίου, ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας

† Ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία κατὰ τὴν δοθεῖσαν αὐτῇ ἄνωθεν Χριστοῦ χάριτι ἀήττητον ἰσχύν τε καὶ δύναμιν ἐπὶ τὸ λυσιτελέστερον ἀεὶ τὰ πάντα διοικονομουμένη καὶ εἰς πάσας μὲν τὰς ἑκασταχοῦ εὑρισκομένας ἁγιωτάτας ἐκκλησίας ἐνδείκνυται τὴν φροντίδα ταύτης καὶ ἐπιμέλειαν, ὅπως ἂν αὗται καλῶς καὶ κατὰ τὸν τοῦ Κυρίου νόμον διοικοῖντο καὶ διεξάγοιντο, πολλῷ δὲ πλέον φροντίζει καὶ προμηθεύεται τῶν πόρρω που καὶ μακρὰν διακειμένων τοιούτων ἁγιωτάτων ἐκκλησιῶν πλήθει πολυανθρώπου ἔθνους καὶ ὑπεροχῇ ῥηγικῆς ἐξουσίας διαφερουσῶν, τὰ προσήκοντα ἑαυτῇ διαπραττομένη καὶ ὀφειλόμενα, ἔνθα μάλιστα τὸ προκείμενον ἐστὶ σπούδασμα ψυχῶν ἁγιασμὸς καὶ ὠφέλεια.

Τούτου δὴ χάριν καὶ τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας πολλὴν καὶ μεγάλην τὴν ἐπικράτειαν ἔχουσαν καὶ χριστωνύμῳ κατὰ μυριάδας εὐθηνουμένην λαῷ ἐν ταύτῃ δοξαζομένου τοῦ ὀνόματος τοῦ Θεοῦ διὰ πολλῆς ἄγει τιμῆς ἡ τοῦ Θεοῦ ἁγία ἐκκλησία καὶ παντὶ τρόπῳ ταύτης βούλεται προνοεῖσθαι καὶ συναίρεσθαι ταύτῃ καὶ βοηθεῖν, ἐπειδὴ καὶ πολλοὺς πλησιοχωροῦντας ἔχει ἐκεῖσε τοὺς ἀσεβεῖς τὲ καὶ πυρσολάτρας.

Διὰ ταῦτα καὶ κατὰ τοὺς πολυειδεῖς καὶ ἀρίστους τρόπους τῶν οἰκονομιῶν αὐτῆς τοὺς εὐδοκιμοῦντας ἐπὶ πολλοῖς προτερήμασι προσφόρους ἱεροὺς ἄνδρας καὶ ἐπὶ τῶν προτέρων χρόνων εἰς τὴν τοιαύτην ἀρχιερατικὴν προστασίαν ἐγκατέστησε μετὰ τῆς πρεπούσης δοκιμασίας· καὶ νῦν οὖν ὁμοίως διαπολλῆς εἶχε φροντίδος ἀπὸ τῶν κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν | εὑρεῖν καὶ ἐκλέξασθαι ἄνδρα τῶν ἀρετῇ διαλαμπόντων καὶ ἐπισήμων καὶ λόγου δυνάμει διαφερόντων τὲ καὶ εὐδοκιμούντων καὶ πεῖραν ἱερῶν κανόνων καὶ ἀκρίβειαν νόμων φιλευσεβῶν ἔχοντα καὶ ἐγκαταστῆσαι τοιοῦτον ἀρχιερέα καὶ ἐξαποστεῖλαι ἐκεῖσε εἰς τὸ ποιμαίνειν καλῶς καὶ κατὰ τὸν προσήκοντα λόγον τὴν ῥηθεῖσαν ἁγιωτάτην ἐκκλησίαν.

21 πυρσολάτρας] cf. Niceph. Greg., Hist. XXXVI 26: ἡ ῥηθεῖσα μητρόπολις, τὸ Κύγεβον δηλαδή, τῇ τοῦ ἑνὸς ἡγεμονίᾳ ... πλησιόχωρος οὖσα, ᾧ τὸ τῶν Λιτβῶν ὑπήκοον ἅπαν ὑπάρχει γένος, πολυανθρωπότατόν τε ὂν καὶ μαχιμώτατον, πυρσολατροῦν δὲ κατὰ τὸν σφῶν ἡγεμόνα (III 514, 5—9 Bekker)

Die von der Synode veranlaßte Versetzung des Bischofs von Vladimir, Herrn Alexios, auf die heiligste Metropolis von Kiev und ganz Rußland

Die heilige katholische und apostolische Kirche Gottes verwaltet in der ihr durch die Gnade Christi von Anfang an verliehenen unbesiegbaren Kraft und Macht stets alles zum Vorteilhafteren. Sie erweist ihre Fürsorge und Obsorge allen heiligsten Kirchen, wo immer sie sich befinden mögen, damit diese gut und nach dem Gesetz des Herrn verwaltet und geleitet werden. Viel mehr noch sorgt sie aber hilfreich für solche irgendwo weitab entfernte heiligste Kirchen, die sich durch eine besonders zahlreiche Bevölkerung und ein hohes Maß fürstlicher Macht auszeichnen. So erfüllt sie (= die Kirche) ihre Aufgaben und Pflichten (dort), wo es vor allem um die Heiligung und den Nutzen von Seelen geht.

Deshalb behandelt die heilige Kirche Gottes mit großer Ehrfurcht auch die heiligste Metropolis von Kiev und ganz Rußland, der ein überaus großes Gebiet untersteht und die an einem nach Hunderttausenden (zählenden) Christenvolk reich ist; wird doch in ihr der Name Gottes gepriesen. Und mit allen Mitteln will sie für diese (Metropolis) sorgen, ihr beistehen und helfen, weil jene dort auch viele Gottlose und Feueranbeter zu Nachbarn hat.

Deshalb hat sie (= die Kirche) gemäß den vielfältigen, ausgezeichneten Vorgangsweisen ihrer Fürsorge heilige Männer, die sich durch viele Vorzüge nützlich hervortun, auch in den früheren Zeiten nach gebührender Prüfung in dieses leitende Amt eines Erzpriesters eingesetzt. Und auch jetzt ist es ihr in ähnlicher Weise ein besonderes Anliegen, unter den im gottgepriesenen, gottgeschützten und gotterhöhten Konstantinopel (Weilenden) einen Mann zu finden und zu erwählen, der zu denjenigen gehört, die durch ihre Tugend strahlen, herausragen und sich durch die Kraft des Wortes (besonders) hervortun, und der Erfahrung in den heiligen Kanones und genaue (Kenntnis) der frommen (weltlichen) Gesetze hat, und einen solchen als Erzpriester einzusetzen und ihn dorthin zu entsenden, damit er die genannte heiligste Kirche gut und in geziemender Weise behütet.

17 εὐθηνουμένην] εὐθυνομένην MM, εὐθηνομένην proposuit Matses V 3

Ἐπεὶ δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος Βλανδιμήρου, κῦρ Ἀλέξιος, ἐκεῖσε γεννηθεὶς καὶ τραφεὶς καὶ εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενος ἀπέλαυε καὶ πνευματικῆς στοργῆς καὶ διαθέσεως καὶ παρὰ τοῦ ἱερωτάτου ἀρχιερέως πάσης Ῥωσίας, κῦρ Θεογνώστου ἐκείνου, εἰς τὴν τοιαύτην ἀρχιερατικὴν ἀρχὴν καλῶς διαπρέψαντος, καὶ τὴν διοίκησιν τῶν ἀνηκόντων ἐκείνῳ δικαίων κατεπιστεύθη ὡς ἱκανὸς ψυχῶν καὶ πραγμάτων προΐστασθαι καὶ εἰς τὸ τῆς ἐπισκοπῆς ἀνήχθη παρ᾽ ἐκείνου ἀξίωμα, εἶτα καὶ ὡς τοιοῦτον γινώσκων αὐτὸν ὁ διαληφθεὶς ἀρχιερεύς, κῦρ Θεόγνωστος, ἐξ αὐτῆς τῆς πείρας καὶ τῶν πραγμάτων ἔγραψε καὶ παρεκάλεσεν εἰς τὴν ἁγιωτάτην τοῦ Θεοῦ Μεγάλην Ἐκκλησίαν καὶ συνέστησε τοῦτον ἀξίως καὶ δυνατῶς ἔχοντα καὶ αὐτὴν τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας ἀρχιερατικῶς διεξάγειν, ὃ δὴ καὶ ἡμεῖς κατὰ τὸ εἰκὸς ἐξετάσει δεδωκότες ἀκριβεστάτῃ ἐπὶ ὁλόκληρον ἤδη ἐνιαυτὸν οὕτως ἔχον ταῖς ἀληθείαις εὕρομεν καὶ καταπάντα σύμφωνον *148v* ταῖς μαρτυρίαις || ταῖς ὑπὲρ αὐτοῦ ἀπό τε τῶν ἐκεῖθεν ἐνταῦθα ἐρχομένων Ῥωμαίων καὶ ἀπὸ τῆς καλῆς καὶ ἐπαινετῆς φήμης τοῦ ὀνόματος αὐτοῦ, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Ῥώσων ἄλλοτε κατ᾽ ἄλλους καιροὺς ἐρχομένων ἐνταῦθα καὶ ἀγαθὰ ὑπὲρ αὐτοῦ μαρτυρούντων, ἔγραψε δὲ ἀρτίως καὶ ὁ εὐγενέστατος μέγας ῥήξ, κατὰ Κύριον ποθεινότατος καὶ γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης, ὑπὲρ αὐτοῦ εἴς τε τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ Μεγάλην Ἐκκλησίαν, ἡμεῖς, εἰ καὶ οὐδὲν ἦν σύνηθες διόλου οὐδὲ ἀσφαλὲς τοῦτο τῇ ἐκκλησίᾳ, ὅμως διὰ τὰς ἀξιοπίστους καὶ συστατικὰς ταύτας μαρτυρίας καὶ τὴν ἐνάρετον καὶ θεάρεστον αὐτοῦ ἀγωγὴν διεκρίναμεν τοῦτο γενέσθαι, πλὴν εἰς αὐτὸν δὴ τοῦτον καὶ μόνον τὸν κῦρ Ἀλέξιον. οὐ μὴν δὲ παραχωροῦμεν οὐδὲ ἐνδιδόαμεν ὅλως ἕτερόν τινα εἰστοεξῆς ἀπὸ τῆς Ῥωσίας ὁρμώμενον ἀρχιερέα ἐκεῖσε γενέσθαι, ἀλλὰ ἀπὸ ταύτης τῆς θεοδοξάστου καὶ θεομεγαλύντου καὶ εὐδαίμονος Κωνσταντινουπόλεως, ἀρετῇ τὲ καὶ ἀγαθοῖς τρόποις σεμνυνόμενον, ἐν δυνάμει λόγου καὶ εἰδήσει | καὶ πείρᾳ τῶν νομίμων τῆς ἐκκλησίας ἐγνωσμένον καὶ ἐντεθραμμένον, ὡς εἴρηται, ἐπὶ τῷ συμφερόντως καὶ κατὰ τὴν ἐκκλησιαστικὴν καὶ κανονικὴν παρατήρησιν τά τε παρεμπίπτοντα κανονικὰ ζητήματα διεξάγειν καὶ τὸν ἐκεῖ χριστώνυμον λαὸν ἐπὶ νομὰς σωτηριώδεις ἐν-

46 καταπάντα] sub litt. απ lin. ducta in V || 58 δὲ] δὴ MM | εἰστοεξῆς] sub litt. στοε lin. ducta in V | ad lineam, qua εἰστοεξῆς primum continetur, Ση(μείωσαι) in marg. addidit man. post. || 63 κατὰ] μετὰ MM

Nun genoß der gottgeliebteste Bischof von Vladimir, Herr Alexios, der dort geboren wurde und aufwuchs und der sich in Gottesfurcht und Tugend übt, auch die geistliche Liebe und Zuneigung des heiligsten Erzpriesters von ganz Rußland, des verstorbenen Herrn Theognostos, der sich in diesem Amt des Erzpriesters besonders auszeichnete. Er wurde mit der Verwaltung der jenem zukommenden Rechte betraut, da er geeignet ist, Seelen und Angelegenheiten zu leiten, und wurde von jenem in die Bischofswürde erhoben. In der Folge richtete der genannte Erzpriester, Herr Theognostos, da er ihn aufgrund (seiner) Erfahrung und der Sachlage als solchen kannte, eine schriftliche Bitte an die heiligste Große Kirche Gottes und empfahl diesen als würdig und fähig, auch die heiligste Metropolis von Kiev und ganz Rußland als Erzpriester zu leiten. Auch wir haben nach einer bereits ein ganzes Jahr dauernden, wie üblich erfolgten, äußerst genauen Untersuchung herausgefunden, daß dem wahrhaftig so ist und daß (das Vorgebrachte) in allem mit den Zeugnissen zu seinen Gunsten übereinstimmt, (die) von den von dort hierher kommenden Rhomäern stammen und sich auf den guten und löblichen Ruf seines Namens gründen, aber auch von den Russen selbst, die zu verschiedenen Zeiten von verschiedenen Orten hierher kommen und Gutes zu seinen Gunsten bezeugen. Es schrieb aber auch soeben der edelste Großfürst, der im Herrn überaus geliebte und wahrhafte Sohn unserer Bescheidenheit, Herr Ioannes, zu seinen Gunsten an meinen mächtigsten und heiligen Kaiser und an die heilige Große Kirche Gottes. (Aus diesen Gründen) haben wir, auch wenn dies keineswegs für die Kirche üblich und auch nicht ungefährlich war, dennoch wegen dieser glaubwürdigen und ihn empfehlenden Zeugnisse und wegen seines tugendhaften und gottgefälligen Lebenswandels entschieden, daß es so geschehen soll — aber einzig und allein für diesen Herrn Alexios. Wir erlauben es hingegen keineswegs und lassen es nicht zu, daß in Zukunft ein anderer, der aus Rußland stammt, dort Erzpriester wird, sondern (nur einer) aus diesem gottgerühmten, gotterhöhten und glücklichen Konstantinopel, der seiner Tugend und guten Sitten wegen geachtet wird, der in der Kraft des Wortes und in Wissen und Erfahrung um die Kirchengesetze anerkannterweise erzogen worden ist, wie gesagt, um nutzbringend und nach kirchlicher und kanonischer Vorschrift die anfallenden kanonischen Fragen zu behandeln und das dortige Christenvolk zu den Gefilden des Heiles zu

ἄγειν, ἑαυτῷ ἀρκοῦντα καὶ μηδενὸς ἑτέρωθεν προσδεόμενον. ὃ δὴ καὶ τοὺς μεθ᾿ ἡμᾶς πατριαρχεύσοντας ἀξιοῦμεν οὕτως ἀποπληροῦν, ὡς καλῶς ἔχον καὶ τὰ μέγιστα συμβαλλόμενον εἰς οἰκοδομὴν τῆς ἐκκλησίας Θεοῦ.

Ὅθεν καὶ συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ καθ᾿ ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ τῶν καθευρεθέντων ἐνταῦθα ἱερωτάτων ἀρχιερέων, ὑπερτίμων, ἀγαπητῶν κατὰ Κύριον ἀδελφῶν καὶ συλλειτουργῶν αὐτῆς, τοῦ Χαλκηδόνος, τοῦ Μελενίκου, τοῦ Ποντοηρακλείας, τοῦ Ῥόδου, τοῦ Χριστουπόλεως, τοῦ Μιτυλήνης, τοῦ Ἄπρω, τοῦ Μαδύτων, τοῦ Καλλιουπόλεως, τοῦ Τενέδου, τοῦ Γαρέλλης καὶ τοῦ Ἑξαμιλίου, κατέστησεν ἀρτίως τοῦτον δὴ τὸν κῦρ Ἀλέξιον εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, μετατεθέντα καὶ ἀναχθέντα ἐπὶ τόνδε τὸν θρόνον ὡς μείζονα διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀρετὴν καὶ τὰ λοιπὰ πνευματικὰ προτερήματα κατὰ τὸν ἀναγεγραμμένον τρόπον, εὐδοκίᾳ καὶ ἐπικρίσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ διαπύρου προμάχου καὶ σπουδαστοῦ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ εὐταξίας καὶ τῶν θείων καὶ εὐσεβῶν δογμάτων αὐτῆς.

Ἀναχθεὶς τοίνυν ἰδοὺ καὶ καταστὰς εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ρωσίας κατὰ τὴν κανονικὴν καὶ ἐκκλησιαστικὴν θεσμοθεσίαν τὲ καὶ παράδοσιν τὴν ἄνωθεν ἐπικρατήσασαν πέμπεται οὗτος δὴ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ καταλαμβάνει ἐκεῖσε, ὡσπερεὶ ἀπὸ τῶν ἐνταῦθα ἦν καὶ ἐξελέγη ἐκεῖσε ἀρχιερεύς.

Διαταῦτα καὶ δῆλα ποιοῦμεν τὰ περὶ τούτου πρός τε τὴν ὑπ᾿ αὐτὸν σύνοδον καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους καὶ αὐτὸν δὴ τὸν εὐγενέστατον μέγαν || *149r* ῥῆγα Ῥωσίας, τὸν κῦρ Ἰωάννην, καὶ τοὺς λοιποὺς εὐγενεῖς ῥῆγας, ἐν Κυρίῳ ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ἀλλὰ δὴ καὶ τὸν ὑπ᾿ αὐτὸν κλῆρον, ἔτι τὲ καὶ πρὸς τοὺς ἄρχοντας καὶ πάντα τὸν ἐκεῖ χριστώνυμον τοῦ Κυρίου λαὸν καὶ γράφομεν καὶ παρεγγυώμεθα πατρικῶς, ὡς ἂν ὑποδέξωνται τοῦτον μετὰ περιχαρείας καὶ εὐφρανθῶσιν ἅπαντες ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ καὶ ἀπονέμωσι τούτῳ παντοίαν εὐπείθειαν καὶ τιμήν, εἰς ὅσα μέλλει λέ|γειν καὶ εἰσηγεῖσθαι αὐτοῖς ἀφορῶντα

68 εἰς οἰκοδομὴν τῆς ἐκκλησίας] cf. 1 Cor. 14, 12

führen, (einen), der sich allein genug ist und keines anderen von außen bedarf. Wir verlangen, daß auch unsere Nachfolger als Patriarchen das so halten, weil es gut ist und am meisten zur Erbauung der Kirche Gottes beiträgt.

Deshalb hat auch unsere Bescheidenheit nach Beratung mit unserer heiligen und göttlichen Synode der heiligsten Erzpriester, die sich hier eingefunden hatten, der Hypertimoi, ihrer im Herrn geliebten priesterlichen Mitbrüder, (der Metropoliten) von Chalkedon, Melenikon, Pontoherakleia, Rhodos, Christupolis, Mitylene, Apros, Madyta, Kalliupolis, Tenedos, Garella und Hexamilion, nun soeben diesen Herrn Alexios zum vollgültigen Metropoliten von Kiev und ganz Rußland eingesetzt, der wegen der ihm innewohnenden Tugend und der übrigen geistlichen Vorzüge in der obengenannten Art durch die wohlwollende Entscheidung meines mächtigsten und heiligen Kaisers, des feurigen Vorkämpfers und Anhängers der Ordnung und rechten Disziplin der Kirche und ihrer göttlichen und frommen Glaubensgrundsätze, versetzt und auf diesen höheren Thron erhoben wurde.

Nachdem er nun nach der kanonischen und kirchlichen Satzung und der seit jeher herrschenden Tradition zum vollgültigen Metropoliten von Kiev und ganz Rußland erhoben und eingesetzt wurde, wird dieser heiligste Metropolit von Kiev und ganz Rußland, Herr Alexios, im Heiligen Geist geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, entsendet und findet sich dort ein, so als ob er einer von den hier Weilenden gewesen und (aus deren Mitte) dort zum Erzpriester erwählt worden wäre.

Deshalb tun wir seine Angelegenheit der ihm unterstehenden Synode, den gottgeliebtesten Bischöfen und dem edelsten Großfürsten von Rußland, Herrn Ioannes, sowie den übrigen edlen Fürsten, den im Herrn geliebten Söhnen unserer Bescheidenheit, aber auch dem ihm unterstehenden Klerus, weiters noch den weltlichen Würdenträgern und dem gesamten christlichen Volk des Herrn dort kund und ermahnen (sie alle) schriftlich in väterlicher Weise, ihn mit inniger Freude aufzunehmen und allesamt über seine Anwesenheit froh zu sein, ihm jedweden ehrerbietigen Gehorsam in allem zu erweisen, was er ihnen zum Nutzen ihrer Seelen und zur Festigung der from-

76 κῦρ] κύριον MM || 78—79 προτηρήματα MM; cf. Matses V 5 || 95 ἐκεῖ supra lin. suppl. V

εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν καὶ σύστασιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων δογμάτων τῆς ἐκκλησίας Θεοῦ. ἡ γὰρ εἰς αὐτὸν αἰδὼς καὶ τιμὴ καὶ εὐλάβεια εἰς τὸν Θεὸν ἀναφέρεται καὶ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει, ἔτι τὲ καὶ εἰς τὴν καθ᾽ ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον.

Ὀφείλει μέντοι οὗτος μετέχειν καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως ὡς τέλειος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ἐπιλαβέσθαι τὲ καὶ πάντων τῶν ὁπουδήποτε εὑρισκομένων καὶ διαφερόντων τῇδε τῇ ἁγιωτάτῃ μητροπόλει δικαίων καὶ προνομίων. κατὰ γὰρ τοὺς θείους καὶ ἱεροὺς κανόνας ὁ αὐτὸς ἱερώτατος μητροπολίτης ὀφείλει ἔχειν τὴν ἐξουσίαν πάντων τῶν ἀνηκόντων τῇ ἐκκλησίᾳ, ἀναγνώστας σφραγίζων ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους προβιβάζων καὶ ἱερεῖς χειροτονῶν καὶ πάντα διαπραττόμενος ἁπλῶς τὰ ἐφειμένα τῷ ἱερωτάτῳ ἀρχιερεῖ Κυέβου καὶ πάσης Ῥωσίας, ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐτῇ κληρικῶν καὶ τῶν ἄλλων, ἱερωμένων, μοναχῶν τὲ καὶ λαϊκῶν, ὑποκεῖσθαι καὶ πειθαρχεῖν τούτῳ ὅσα καὶ οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν Θεὸν καὶ δέχεσθαι ἀσμένως καὶ προθύμως ἀποπληροῦν, ὅσα μέλλει παραινεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς ψυχωφελῆ καὶ σωτήρια.

Ἐπεὶ δὲ ἀναγκαίως ἔχει ἐπιδημεῖν ἐνταῦθα, ὡς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, κατὰ τὸ χρέος τῆς ὑποταγῆς αὐτοῦ τῆς εἰς τὴν ἁγίαν τοῦ Θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν καὶ κατὰ τὴν τούτων διάταξιν, οὐκ ἔχει δὲ εὐκόλως ἑκάστου ἔτους ἐπιδημεῖν διά τε τὸ πολὺ τῆς ὁδοῦ μῆκος καὶ τὴν ἐντῳμέσῳ δυσχέρειαν, παρεγγυώμεθα, ἵνα κατὰ δύο χρόνους, εὐθέτου ὄντος τοῦ πράγματος, καταλαμβάνῃ ἐνταῦθα, δι᾽ αὐτὸ τὲ τὸ χρέος, ὅπερ ἔχει, καὶ τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀναγκαίας χρήσεις, ἔτι δὲ καὶ τὰ ἀνακύπτοντα καὶ κατὰ πᾶσαν τὴν ἐνορίαν αὐτοῦ ἀναγκαῖα ζητήματα.

Εἰ δ᾽ ἴσως εἴτε ἀπό τινος ἀσθενείας εἴτε ἀπὸ ἑτέρων ἐμποδισμάτων ἀδυνάτως ἔχει αὐτὸς δι᾽ ἑαυτοῦ τῇ καθ᾽ ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ἐφίστασθαι, ὀφείλει ἐκλέγεσθαι καὶ ἐκπέμπειν ἐνταῦθα, οὓς ἂν ἁρμοδίους διακρίνοι τῶν τοῦ κλήρου αὐτοῦ, καὶ ἀναφέρειν δι᾽ οἰκείων ἐγγράφων καὶ κατησφαλισμένων ἀναφορῶν τά, ἅπερ ἔχει, κατεπείγοντα ζητήματα, ὡς

100—101 ἡ γὰρ εἰς αὐτὸν αἰδὼς καὶ τιμὴ καὶ εὐλάβεια εἰς τὸν Θεὸν ἀναφέρεται καὶ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει] cf. e. g. linn. 99—100 documenti 194 vel linn. 36—38 documenti 195; cf. etiam linn. 23—24 documenti 190 et locos ibi laudatos || 123—124 τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀναγκαίας χρήσεις] cf. e. g. Can. apost. 37 (III 286, 141 Metzger: τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας)

men und orthodoxen Glaubenslehren der Kirche Gottes sagen und vortragen wird. Denn die ihm (erwiesene) Scheu, Ehre und Frömmigkeit bezieht sich auf Gott und geht auf unsere Bescheidenheit über und weiters auch auf unsere göttliche und heilige Synode.

Er soll auch Anteil haben an der Einsetzung ins heilige Synthronon, als vollgültiger Metropolit von Kiev und ganz Rußland, sowie allerorten alle Rechte und Privilegien, die zu dieser heiligsten Metropolis gehören, übernehmen. Denn nach den göttlichen und heiligen Kanones soll dieser heiligste Metropolit die Gewalt über alles, was der Kirche zukommt, haben, indem er Anagnosten in ihr (= der Kirche) einsetzt, Subdiakone und Diakone ernennt, Priester weiht und einfach alles dem heiligsten Erzpriester von Kiev und ganz Rußland Erlaubte tut, wobei ihm alle Kleriker in ihr (= dieser Kirche) und die übrigen — Geistliche, Mönche und Laien — als ihrem Hirten, Vater, Lehrer und versöhnenden Vermittler bei Gott untertan sein und gehorchen sollen und all das gerne annehmen und willig erfüllen, wozu er sie ermahnen und was er ihnen zum Nutzen (ihrer) Seele und zu (ihrem) Heile raten wird.

Da er aber, wie es die göttlichen und heiligen Kanones anordnen, in seiner Unterordnungspflicht unter die heilige katholische und apostolische Kirche Gottes und gemäß der Vorschrift (der Kanones) dazu verhalten ist, hierher zu kommen, es aber wegen des sehr langen Weges und der Schwierigkeit dabei für ihn nicht leicht ist, jedes Jahr zu kommen, befehlen wir, da dies billig ist, daß er sich jedes zweite Jahr wegen ebendieser ihm obliegenden Pflicht und wegen der anfallenden zwingenden kirchlichen Erfordernisse, aber auch wegen der in seinem ganzen Sprengel auftauchenden dringenden Fragen hier einfinden soll.

Sollte es ihm wegen irgendeiner Krankheit oder wegen anderer Hindernisse unmöglich sein, persönlich vor unsere heilige und göttliche Synode zu treten, soll er aus seinem Klerus diejenigen auswählen und hierher schicken, die er für geeignet hält, und durch eigenhändig geschriebene und beglaubigte Berichte die von ihm für dringlich gehaltenen Fragen mitteilen, damit diese in der Folge

101 εἰς[1] supra lin. suppl. V (man. post.?) || 105 ὁπουδήποτε] sub litt. ουδ lin. ducta in V || 109 αὐτῇ] litt. ῇ ex ῷ corr. V || 110 τὰ om. MM || 122 εὐθέτου] εὐθύντου MM; εὐθυντοῦ vel εὐθέτου proposuit Matses V 4 || 123 χρέος] χρέον MM; cf. Matses V 4

ἂν ἐντεῦθεν λαμβάνωσι ταῦτα διὰ τῆς χάριτος τοῦ Θεοῦ τὴν πρέπουσαν ἀποκατάστασιν καὶ διόρθωσιν εἰς πλείονα σύστασιν τούτου καὶ εὐδοκίμησιν, ἐπειδὴ τούτου ἕνεκα καὶ ἡ παρ|οῦσα ἡμετέρα συνοδικὴ πρᾶξις γεγονυῖα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίῳ, ὑπερτίμῳ, ἀγαπητῷ κατὰ Κύριον ἀδελφῷ καὶ συλλειτουργῷ, ἐπεδόθη εἰς ἀσφάλειαν.

Ἀπελύθη τῇ λ' τοῦ ἰουνίου ἰνδικτιῶνος ζ' τοῦ ,ςοῦωοῦξβοῦ ἔτους.

Εἶχε καὶ διὰ τῆς θείας καὶ τιμίας πατριαρχικῆς χειρὸς τό· *Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης †.* ||

194

Philotheos Kokkinos ermahnt den Bischof Moisej von Novgorod zu Gehorsam gegenüber dem Metropoliten Aleksej von Kiev. Postskriptum: Aufforderung zur freundlichen Aufnahme des patriarchalen Exarchen, des Kanstrisios der Großen Kirche, Georgios Perdikes.

V 47, f. 149v—150r — τῇ βᵅ ⟨τοῦ ἰουλίου⟩ τοῦ ,ςοῦωοῦξοῦ
MM I 347—350 (Nr. 156) — δευτέρου ἔτους (Z. 90)
PG 152, 1340—1342 — μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ζ' (Z. 102)
Dar. Reg. 2364 (vgl. auch Reg. 2365) — 2. Juli 6862 (= 1354)
γράμμα (Z. 88)

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg ²1908, Prilož., 51—59 (Nr. 10) (nach MM) (im folgenden nicht herangezogen)

Erwähnte Urkunden und Gesetze:

a) Schreiben des Metropoliten Theognostos von Kiev an die Große Kirche ⟨nach 6. Dezember 1351, vor März 1353⟩: Theognostos empfiehlt Bischof Aleksej von Vladimir und schlägt ihn als seinen Nachfolger vor (vgl. ἔπεμψε καὶ ἔγραψε [Z. 7]) (vgl. auch Nr. 193, erwähnte Urkunde a; Nr. 196, erwähnte Urkunde b)

b) Entscheidung des Kaisers ⟨Ioannes VI. Kantakuzenos; kurz vor Juni 1354; fehlt bei Dö. Reg.⟩, Aleksej von Vladimir zum Metropoliten von Kiev und ganz Rußland zu weihen (vgl. μετὰ εἰδήσεως καὶ θελήσεως τοῦ

durch die Gnade Gottes die gebührende Bereinigung und Berichtigung zu einer vermehrten Festigung seines Ansehens erhalten. Deshalb wurde auch unsere vorliegende Synodalpraxis für den genannten heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, Hypertimos, im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, erlassen und ihm zur Sicherheit ausgehändigt.

Expediert am 30. Juni der 7. Indiktion des Jahres 6852.

(Das Original) hatte auch von der göttlichen und ehrwürdigen Hand des Patriarchen (die Unterschrift): „Philotheos, durch Gottes Erbarmen Erzbischof von Konstantinopel, des Neuen Rom, und ökumenischer Patriarch".

194

Vokativische Anrede des Empfängers (1). *Segenswünsche* (1—2). *Hinweis auf die Einsetzung des Alexios zum Metropoliten von Kiev und ganz Rußland durch den Patriarchen und die Synode* (3—25). *Eintreffen von Empfehlungsschreiben seitens der russischen Bischöfe* (26 bis 28). *Ankündigung des bevorstehenden Kommens des Alexios in seine Metropolis* (28—31). *Aufforderung zur gebührenden Aufnahme* (32 bis 40). *Besondere Verpflichtung des Bischofs von Novgorod zur Unterordnung aufgrund vorhergehender Begünstigung durch den Patriarchen* (41—59). *Dem Bischof ist es lediglich in der Sache des ihm verliehenen Privilegs gestattet, sich direkt an den Patriarchen zu wenden* (60—74). *Androhung von Sanktionen im Falle des Zuwiderhandelns; der Patriarch werde eventuelle Maßnahmen des Metropoliten von Kiev gegen den Bischof von Novgorod anerkennen* (75—85). *Schlußermahnung* (86 bis 88). *Schlußgruß* (89). *Expeditionsvermerk mit Datierung* (90). *Einsetzung des Georgios Perdikes als Exarch und Dikaio des Patriarchen, um vor Ort die kanonische Einsetzung des Metropoliten von Kiev, Alexios, vorzunehmen* (91—97). *Aufforderung an den Bischof von Novgorod, ihn ehrenvoll aufzunehmen* (98—101). *Datierung* (102—103).

κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος [Z. 21—22]) (vgl. auch Nr. 193, erwähnte Urkunde d; Nr. 196, erwähnte Urkunde c)

c) Synodalpraxis des Patriarchen ⟨Philotheos Kokkinos; 30. Juni 1354; Dar. Reg. 2363⟩ (= oben, Nr. 193) (vgl. Testimonienapparat zu Z. 5—23) und parallele Schreiben ⟨vom Juli 1354; vgl. etwa Dar. Reg. 2367⟩ (= unten, Nr. 196) (ἕτερα γράμματα: Z. 25)

d) Empfehlungsschreiben der russischen Bischöfe für Aleksej von Vladimir, übermittelt durch den Bischof von Saraj (συστατικαὶ ... ἔγγραφοι γνῶμαι: Z. 27)

e) Kanon ⟨Nr. 34 der Apostel*; Metzger III 284, 119—125⟩ (οἱ θεῖοι καὶ ἱεροὶ κανόνες: Z. 38; vgl. auch Z. 57—58, 70—71, 75—76 und 78) (vgl. auch Nr. 195, erwähntes Gesetz b)

f) (schriftliches?) Privileg des Metropoliten Theognostos von Kiev für den Bischof Vasilij ⟨von Novgorod; vor 3. Juli 1352⟩ mit der Erlaubnis, auf dem Phelonion vier Kreuze zu tragen (vgl. ... διὰ τὴν ... στοργὴν ... ὁ ... ἀρχιερεύς, κῦρ Θεόγνωστος, εἰς τὸν ἐπίσκοπον ἐκεῖνον Βασίλειον ἔδωκεν ἐκείνῳ εἰς τὸ φελόνιον φέρειν σταυροὺς τέσσαρας [Z. 41—44])

g) (schriftliche?) Eingabe des Bischofs ⟨Moisej⟩ von Novgorod an den Patriarchen ⟨Philotheos Kokkinos⟩ von Konstantinopel: Bitte um Bestätigung des unter f) gewährten Privilegs (ζήτησις καὶ παράκλησις: Z. 44)

h) (mehrere?) Privilegienurkunde(n) des Patriarchen ⟨Philotheos Kokkinos; vor Juli 1354; fehlt bei Dar. Reg.⟩ für den Bischof ⟨Moisej⟩ von Novgorod (γραφαί: Z. 51; vgl. ἀπὸ ζητήσεως καὶ παρακλήσεως ἰδικῆς σου ἐποιήσαμεν καὶ ἡμεῖς, ὅσον ἐποιήσαμεν εἰς σέ [Z. 44—45]; ἐποιήσαμεν εἰς σέ [Z. 60]), u. a. mit Bestätigung des Privilegs f)

i) allfällige schriftliche Berichte des Bischofs ⟨Moisej⟩ von Novgorod an den Patriarchen von Konstantinopel (vgl. γράφειν καὶ ἀναφέρειν [Z. 72] und γράφῃς ... καὶ ἀναφέρῃς [Z. 74]).

149r † Θεοφιλέστατε ἐπίσκοπε Νοβογραδίου· χάρις εἴη καὶ εἰρήνη τῇ θεοφιλείᾳ σου ἀπὸ Θεοῦ παντοκράτορος.

Οἶδας, ὡς τοῦ ἱερωτάτου ἀρχιερέως πάσης Ῥωσίας ἐκείνου, κῦρ Θεογνώστου, τελευτήσαντος ἦν ἀναγκαῖον, ἵνα γένηται ἀρχιερεὺς εἰς τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν. ἐπεὶ οὖν ὁ αὐτὸς κῦρ Θεόγνωστος, ὅστις καὶ καλῶς διέπρεψεν εἰς ταύτην δὴ τὴν ἀρχιερατικὴν ἀρχήν, πρότερον ἔτι ζῶν ἔπεμψε καὶ ἔγραψε καὶ παρεκάλεσεν εἰς τὴν ἁγίαν τοῦ Θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν περὶ τοῦ παρ᾿ ἐκείνου προβιβασθέντος εἰς ἐπίσκοπον Βλανδιμήρου, τοῦ κυροῦ Ἀλεξίου, ὅτι ἔχει ἀξίως καὶ δύναται ἀρχιερατικῶς διεξάγειν τὴν αὐτὴν ἁγιωτάτην μητρό-

5—23 cf. linn. 36—81 documenti praecedentis

Gottgeliebtester Bischof von Novgorod! Gnade und Friede möge Deiner gottgeliebten Person von Gott dem Allherrscher zuteil werden!

Du weißt, daß nach dem Tod des heiligsten Erzpriesters von ganz Rußland, des seligen Herrn Theognostos, die Einsetzung eines Erzpriesters in diese heiligste Metropolis notwendig wurde. Derselbe Herr Theognostos, der sich in diesem Amt des Erzpriesters vortrefflich ausgezeichnet hatte, schickte nun (schon) früher noch zu seinen Lebzeiten der heiligen katholischen und apostolischen Kirche Gottes ein Schreiben mit einem Ersuchen in der Angelegenheit des von ihm zum Bischof von Vladimir beförderten Herrn Alexios, (in dem es hieß), daß jener würdig und fähig sei, diese heiligste Metropolis als Erzpriester zu

1 Νοβογραδίου] an Νοβογράδου legendum?

πολιν, διότι ἔνι εὐλαβὴς καὶ ἐνάρετος. καὶ ἡμεῖς δὲ ἐξητάσαμεν αὐτόν, καθὼς ἔπρεπε, καὶ εὕρομεν κατ' ἀλήθειαν τοιοῦτον Χριστοῦ χάριτι καὶ σύμφωνον εἰς τὰς ὑπὲρ αὐτοῦ μαρτυρίας ἀπό τε τῶν αὐτόθεν πολλάκις ἐρχομένων Ῥωμαίων, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Ῥώσων, οἵτινες ἤρχοντο ἐνταῦθα καὶ πρότερον κατὰ καιροὺς διαφόρους, διαταῦτα ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἀπὸ κοινῆς γνώμης ἀνεβίβασεν αὐτὸν διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν καὶ τὰ λοιπὰ πνευματικὰ προτερήματα καὶ ἀποκατέστησεν ἐπὶ τὸν μεγαλώτερον καὶ τιμιώτερον ἀρχιερατικὸν θρόνον τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας μετὰ εἰδήσεως καὶ θελήσεως τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ διαπύρου προμάχου τῆς ἐκκλησιαστικῆς εὐταξίας καὶ πάντα τὰ καλὰ τιμᾶν καὶ ἀνυψοῦν εὐδοκοῦντος καὶ βουλομένου, καθὼς μέλλεις γνωρίσειν καὶ ἀπὸ τῶν ἐπὶ τούτῳ ἀπολυθέντων ἑτέρων γραμμάτων τῆς ἡμῶν μετριότητος.

Ἐπειδὴ ἐδεξάμεθα καὶ διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Σαραΐου καὶ τὰς συστατικὰς ὑπὲρ αὐτοῦ ἐγγράφους γνώμας τῶν αὐτόθι λοιπῶν θεοφιλεστάτων ἐπισκόπων, ἀρτίως οὖν ἔρχεται σὺν Θεῷ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιος, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριό|τητος, εἰς τὴν λαχοῦσαν αὐτὸν τοιαύτην ἁγιωτάτην μητρόπολιν.

Διατοῦτο καὶ γράφομεν πρὸς τὴν θεοφιλείαν σου, ἵνα εὐφρανθῇς καὶ σὺ ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ καὶ ἀπονέμῃς τὴν ὀφειλομένην τιμὴν καὶ εὐπείθειαν πρὸς αὐτόν, εἰς ἃ μέλλει λέγειν ὡς ποιμὴν καὶ διδάσκαλος ψυχωφελῆ καὶ σωτήρια καὶ συστατικὰ τῶν θείων καὶ ἱερῶν δογμάτων τῆς ἐκκλησίας Θεοῦ. τοῦτο γάρ ἐστι καὶ εἰς τὸν Θεὸν εὐαπόδεκτον καὶ εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον ἐπαινετόν, τοῦτο καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, ῥητῶς οὕτω λέγοντες· «τοὺς ἐπισκόπους παντὸς ἔθνους εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον» καὶ πᾶσαν εὐλάβειαν καὶ ὑποταγὴν αὐτῷ ἀπονέμειν.

Ἐπεὶ δὲ διὰ τὴν πνευματικὴν ἀγάπην καὶ στοργήν, ἣν εἶχεν ὁ δηλωθεὶς ἱερώτατος ἀρχιερεύς, κῦρ Θεόγνωστος, εἰς τὸν ἐπίσκοπον

39 Can. apost. 34 (III 284, 119—120 Metzger)

führen, da er fromm und tugendsam sei. Doch auch wir prüften ihn, wie es sich gehörte, und fanden, daß dies (= das Vorgebrachte) mit Christi Gnade wirklich auf ihn zutrifft und daß er den Zeugnissen entspricht, die zu seinen Gunsten von den oft von dort (hierher) kommenden Rhomäern, aber auch von den Russen selbst abgelegt wurden, die auch früher zu verschiedenen Zeiten hierher kamen. Daher beriet sich unsere Bescheidenheit mit der um sie versammelten göttlichen und heiligen Synode der heiligsten Erzpriester und Hypertimoi, die sich hier eingefunden hatten, und beförderte ihn in gemeinsamem Beschluß (mit ihr) wegen seines tugendhaften Lebens und seiner übrigen geistlichen Vorzüge und setzte ihn mit dem Wissen und dem Willen meines mächtigsten und heiligen Kaisers, des feurigen Vorkämpfers für die kirchliche Ordnung, der in seinem Wohlwollen alles Gute zu ehren und zu erhöhen wünscht, in den größeren und ehrenvolleren erzpriesterlichen Thron als vollgültigen Metropoliten von Kiev und ganz Rußland ein. Dies wirst Du auch aus den anderen diesbezüglich expedierten Schreiben unserer Bescheidenheit erfahren.

Da wir über den gottgeliebtesten Bischof von Saraj auch die ihn empfehlenden schriftlichen Stellungnahmen der dort befindlichen anderen gottgeliebtesten Bischöfe erhalten haben, kommt nun der heiligste Metropolit von Kiev und ganz Rußland, Herr Alexios, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, mit Gott in diese heiligste Metropolis, die ihm zuteil wurde.

Deshalb schreiben wir auch Deiner gottgeliebten Person, daß auch Du Dich über seine Anwesenheit freuen und ihm in gebührender Weise Ehrerbietung und Gehorsam in allem erweisen sollst, was er als Hirte und Lehrer der Seele Förderliches und Heilbringendes und die göttlichen und heiligen Glaubensgrundsätze der Kirche Gottes Festigendes sagen wird. Dies ist nämlich auch Gott willkommen und findet das Lob unserer Bescheidenheit und der göttlichen und heiligen Synode; dies befehlen auch die göttlichen und heiligen Kanones, in denen es wörtlich heißt: „Die Bischöfe jeder Nation müssen ihren Ersten kennen" und ihm jede Frömmigkeit und Unterordnung erweisen.

Da der erwähnte heiligste Erzpriester, Herr Theognostos, aus geistlicher Liebe und Zuneigung für den verstorbenen Bischof Basi-

11 δὲ] δὴ MM

ἐκεῖνον Βασίλειον, ἔδωκεν ἐκείνῳ εἰς τὸ φελόνιον φέρειν σταυροὺς τέσσαρας καὶ ἀπὸ ζητήσεως καὶ παρακλήσεως ἰδικῆς σου ἐποιήσαμεν καὶ ἡμεῖς, ὅσον ἐποιήσαμεν εἰς σέ, ὀφείλεις, ἵνα εὐχαριστῆς καὶ οὐδὲν παρεξέλθῃς ἀπὸ τούτου, ἀλλὰ καὶ ἀποδιδῷς πρὸς τοῦτον δὴ τὸν ἱερώτατον μητροπολίτην σου τήν, ἣν ἔχεις κατὰ χρέος, ὑποταγήν. ἐὰν γοῦν βλέπῃ καὶ αὐτὸς τὴν σὴν εὐγνωμοσύνην χρεωστικῶς εἰς αὐτὸν καὶ καλὴν καὶ ὀρθὴν εὔνοιαν, μέλλει δεικνύειν πατρικὴν καὶ ἀγαπητικὴν εὐμένειαν εἰς τὴν θεοφιλείαν σου.

Οἶδας δέ, ὅτι καὶ αἱ γραφαὶ τῆς ἡμῶν μετριότητος, αἵτινες προαπελύθησαν εἰς τοῦτο, διὰ φιλίαν τὴν πρὸς σὲ ἐγένοντο, πλὴν οὕτως ἵνα οὐδὲν θαρρήσῃς εἰς τοῦτο καὶ εἰσέλθῃς εἰς πρόφασιν τινὰ ἐντεῦθεν καὶ ποιήσῃς τίποτε περιφρονητικὸν εἰς τὸν μητροπολίτην σου, ἀλλὰ ἵνα στέργῃς μὲν καὶ {εἰς} ἐκεῖνο ἀμεταθέτως, ἀποδιδῷς δὲ καὶ πρὸς τὸν τοιοῦτον ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας τὴν χρεωστουμένην, ὡς εἴρηται, εὐπείθειαν καὶ ὑποταγὴν καὶ τιμήν, καθὼς τὲ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται καὶ καθὼς ἀπεδίδουν αὐτὴν καὶ οἱ πρότερον ἐπίσκοποι εἰς τοὺς πρώην μητροπολίτας αὐτῶν.

Ἐὰν δὲ ἴσως ἔνι τὶς λόγος χάριν τοῦ, ὅπερ ἐποιήσαμεν εἰς σὲ διὰ τοὺς σταυρούς, ὡς δεδήλωται, περὶ ταύτης καὶ μόνης τῆς ὑποθέσεως ἀναφέρῃς εἰς τὴν ἡμῶν μετριότητα, ὡς ἂν διαπράξηται αὔτη, ὅσον ἂν διακρίνοι περὶ τούτου· πλὴν εἰς τοῦτο καὶ μόνον τὸ κεφάλαιον δίδομεν τοῦτο, εἰς δὲ πᾶσαν ἄλλην ὑπόθεσιν, εἴτε δῆτα προσκαλεῖταί σε εἰς ἑαυτὸν ὁ μητροπολίτης σου εἴτε εἰς ἄλλό τι, ἵνα ὑπόκεισαι εἰς τὴν ὑποταγὴν | καὶ διάκρισιν αὐτοῦ καί, εἴ τι δὲ συμβῇ μεταξὺ ⟨ὑμῶν⟩ ἐξετάσεως καὶ κρίσεως δεόμενον, ἵνα παρ᾽ αὐτοῦ δὴ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας δέχεσαι τὴν κρίσιν καὶ τὴν ἐξέτασιν, ἐν μηδενὶ ἀντιλέγων μηδὲ ἀπειθῶν, κατὰ τὴν ἐπικρατοῦσαν ἄνωθεν ἐν τοῖς τοιούτοις ἐκκλησιαστικὴν εὐταξίαν καὶ κατὰ τὴν τῶν αὐτῶν θείων κανόνων παράδοσιν, ἐπεὶ δὲ καὶ τοῦτο παρακελεύονται οἱ ἱεροὶ κανόνες, ὥστε, ὁπόταν σοι γένηται ἀναγκαία χρεία γράφειν καὶ ἀναφέρειν εἰς τὴν ἡμῶν μετριότητα, πρῶτον ἵνα διδῷς εἴδησιν εἰς τὸν μητροπολίτην σου καὶ μετὰ εἰδήσεως τούτου καὶ βουλῆς γράφῃς τοῦτο καὶ ἀναφέρῃς.

---

43 pro Βασίλειον lacunam indicaverunt MM; cf. DAR. Reg. 2364 (s. v. „Texte") | ἐκείνῳ] ἐκεῖνον MM || 48 βλέπει MM || 60 ὅπερ scripsimus cum MM, οὗπερ V || 65 ὁ ex corr. V || 66 ὑμῶν suppl.

leios diesem gestattete, auf dem Phelonion vier Kreuze zu tragen, und wir auf Dein Ansuchen und Deine Bitte hin (das) für Dich getan haben, was wir eben getan haben, hast auch Du die Verpflichtung, dankbar zu sein und davon nicht abzugehen, sondern diesem Deinen heiligsten Metropoliten die Unterwerfung, zu der Du verpflichtet bist, zu erweisen. Wenn nun auch er die ihm von Dir gemäß Deiner Schuldigkeit entgegengebrachte Dankbarkeit und Deine gute und aufrechte Loyalität sieht, wird er Deiner gottgeliebten Person väterliches und liebevolles Wohlwollen zeigen.

Du weißt ja, daß auch die Schreiben unserer Bescheidenheit, die vorher diesbezüglich expediert wurden, aus Freundschaft zu Dir ergingen. Doch sollst Du nicht im Vertrauen darauf einen Streitvorwand finden und eine verächtliche Haltung Deinem Metropoliten gegenüber einnehmen, sondern akzeptiere dies genauso und leiste auch selbigem heiligsten Metropoliten von Kiev und ganz Rußland, wie gesagt, die geschuldete Folgsamkeit und Unterwerfung und Ehrerbietung, wie dies die göttlichen und heiligen Kanones befehlen und wie sie auch die früheren Bischöfe ihren früheren Metropoliten erwiesen.

Wenn aber vielleicht ein Disput darüber entsteht, was wir, wie erwähnt, für Dich wegen der Kreuze gemacht haben, so wende Dich allein in dieser Angelegenheit an unsere Bescheidenheit, damit sie unternimmt, was ihr diesbezüglich angebracht scheint! Aber wir gestatten dies nur in diesem Punkt allein. In jeder anderen Angelegenheit, sei es, daß Dich Dein Metropolit zu sich ruft, oder sonst irgend etwas, sollst Du der Unterordnung unter ihm und seiner Entscheidung unterliegen. Wenn etwas zwischen Euch vorfällt, was einer Untersuchung und Entscheidung bedarf, sollst Du von diesem heiligsten Metropoliten von Kiev und ganz Rußland die Entscheidung und Untersuchung annehmen und ihm dabei in nichts widersprechen oder ungehorsam sein, gemäß der in diesen Dingen seit jeher herrschenden kirchlichen Ordnung und der Tradition ebendieser göttlichen Kanones. Denn auch das befehlen ja die heiligen Kanones, daß Du, wann immer sich für Dich die zwingende Notwendigkeit ergibt, unserer Bescheidenheit schriftlich zu berichten, davon zuerst Deinen Metropoliten verständigst und mit seinem Wissen und seiner Einwilligung dies schreibst und berichtest.

Ἀκολούθως στέργουσα τὰ περὶ τούτου καὶ ἡ μετριότης ἡμῶν κατὰ τὴν διάταξιν τῶν κανόνων παρακελεύεται, ἵνα μηδὲν γένηται τούτου ἕνεκα παρὰ τὴν αὐτοῦ γνώμην, ἀλλὰ ἐνεργῆται οὕτως· διότι, ἐὰν οὐδὲν ἀποπληροῖς εἰς τὸν μητροπολίτην σου κατὰ τοὺς αὐτοὺς θείους κανόνας τὴν ἀνήκουσαν ὑποταγὴν χρεωστικῶς, γίνωσκε, ὅτι ἀνατεθειμένος ἔνι οὗτος παρὰ τῆς ἡμῶν μετριότητος πράττειν εἰς σὲ πᾶν, ὅπερ ἔχει ἐπαδείας κανονικῶς, καὶ τὸ τοιουτοτρόπως γινόμενον παρ᾽ αὐτοῦ πάντως μέλλει στέργειν ὁμολογουμένως καὶ ἡ μετριότης ἡμῶν καὶ οὐδὲν οὐδόλως μέλλεις εὑρήσειν ἀπὸ τῆς ἡμῶν μετριότητος τὴν τυχοῦσαν βοήθειαν, ἐὰν ἴσως φανῇς ἀπειθὴς καὶ ἀνυπότακτος εἰς τὸν διαληφθέντα μητροπολίτην σου.

Συντηροῦ τοίνυν εἰρηνεύων κατὰ τὸ εἰκὸς καὶ ποίει ἀμεταθέτως καὶ ἀπαραιτήτως, καθὼς γράφομεν καὶ παρεγγυώμεθα τῇ θεοφιλείᾳ σου διὰ τοῦ παρόντος γράμματος, ἀντιστραφέντος δι᾽ ἀσφαλείας.

Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ τῆς θεοφιλείας σου.

Ἀπελύθη τῇ β$^{\epsilon}$ ⟨τοῦ ἰουλίου⟩ τοῦ ͵ς^{ου}ω^{ου}ξ^{ου} δευτέρου ἔτους.

150r Ἐπεὶ δὲ || ἀνετέθη παρὰ τῆς ἡμῶν μετριότητος ὁ θεοφιλέστατος κανστρίσιος τῆς καθ᾽ ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας καὶ σκευοφύλαξ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου, ἀγαπητὸς κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιος ὁ Περδίκης, καὶ ἔξαρχος καὶ δικαίῳ τῆς ἡμῶν μετριότητος, ἵνα κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ποιήσῃ τὴν ἐγκαθίδρυσιν τοῦ ἱερωτάτου ἀρχιερέως Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ὅντινα καὶ ὡς κριτὴν στέργουσα πέμπει ἡ μετριότης ἡμῶν, παραδηλοῦμεν ἰδοὺ τῇ θεοφιλείᾳ σου, ἵνα ὑποδέξηται τοῦτον μετὰ τῆς προσηκούσης τιμῆς καὶ ἀγάπης. ἡ γὰρ πρὸς αὐτὸν τιμὴ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει καὶ ἔχει τὴν ἀναφοράν· καὶ μέλλεις ποιήσειν καὶ εἰς τοῦτο πρᾶγμα εἰς πολλὴν ἀποδοχὴν τῆς ἡμῶν μετριότητος. |

† Εἶχε τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ζ′* διὰ τῆς δεσποτικῆς καὶ τιμίας πατριαρχικῆς χειρός †.

99—100 ἡ γὰρ—ἀναφοράν] cf. adnotationem ad linn. 100—101 documenti praecedentis spectantem

Folglich befiehlt unsere Bescheidenheit in Übereinstimmung hiemit gemäß der Bestimmung der Kanones, daß deswegen nichts gegen seinen Willen geschehe, sondern dergestalt (das heißt in Übereinstimmung mit den Kanones) verfahren werde. Denn wisse, daß, wenn Du die Pflicht der Unterwerfung, die (ihm) schuldigerweise gebührt, Deinem Metropoliten gegenüber nicht gemäß den nämlichen göttlichen Kanones erfüllst, jenem von unserer Bescheidenheit aufgetragen ist, Dir alles zu tun, wozu er kanonisch befugt ist, und daß, was derart von ihm unternommen wird, ausdrücklich auch unsere Bescheidenheit billigen wird und Du von unserer Bescheidenheit in keiner Weise irgendeine Hilfestellung erhalten wirst, wenn Du Dich Deinem genannten Metropoliten gegenüber ungehorsam und aufsässig zeigen solltest.

Halte Dich daher, wie es sich gehört, (an meine Ermahnungen), sei friedfertig und handle unverrückbar und vorbehaltlos, wie wir Deiner gottgeliebten Person mit dem vorliegenden Schreiben schriftlich auftragen, das zur Sicherheit ausgehändigt wurde.

Die Gnade Gottes sei mit Deiner gottgeliebten Person!

Expediert am 2. ⟨Juli⟩ des Jahres 6852.

Dem gottgeliebtesten Kanstrisios unserer heiligsten Großen Kirche Gottes und Skeuophylax des heiligen kaiserlichen Klerus, dem im Geist geliebten Sohn unserer Bescheidenheit, Herrn Georgios Perdikes, Exarchos und Dikaio unserer Bescheidenheit, wurde von unserer Bescheidenheit aufgetragen, die Einsetzung des heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, gemäß den kirchlichen Satzungen vorzunehmen. Ihn anerkennt und schickt unsere Bescheidenheit auch als Richter. Daher tragen wir Deiner gottgeliebten Person auf, ihn mit der gebührenden Ehrerbietung und Liebe zu empfangen. Denn die ihm erwiesene Ehre geht auf unsere Bescheidenheit über und bezieht sich auf sie. Du wirst auch hierbei zur vollen Zufriedenheit unserer Bescheidenheit handeln.

(Das Original) hatte von der ehrwürdigen Hand des Herrn Patriarchen (die Menologemunterschrift): „Im Monat Juli der 7. Indiktion“.

---

77 αὐτοῦ] αὐτὴν MM || 90 τοῦ ἰουλίου supplevimus cum DAR. Reg. 2364 („Texte“); forsitan post vocem ἔτους etiam indicatio indictionis deest || 91—93 ἐπεὶ δὲ—ἀγαπητὸς] eundem textum post crucem menologematis documenti sequentis iteratum canc. V (cf. adnotationem ad lin. 43 documenti sequentis spectantem)

195

Philotheos Kokkinos warnt den Bischof Moisej von Novgorod vor dem vom Patriarchen von Tărnovo zum Metropoliten von Kiev geweihten und von Kallistos I. exkommunizierten Feodorit.

V 47, f. 150r	μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ζʹ (Z. 42)
MM I 350—351 (Nr. 157)	Juli ⟨1354⟩
PG 152, 1342—1343	γράμμα (Z. 40)
Dar. Reg. 2366	
Mazal 357	

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg ²1908, Prilož., 59—63 (Nr. 11) (nach MM) (im folgenden nicht herangezogen)

Erwähnte Urkunden und Gesetze:

a) Schreiben des Patriarchen ⟨Philotheos Kokkinos; Juli 1354; Dar. Reg. 2364⟩ an den Bischof von Novgorod ⟨Moisej⟩ in der Angelegenheit des Metropoliten Aleksej von Kiev (= oben, Nr. 194) (ἕτερον γράμμα: Z. 2 und 35—36) (vgl. Testimonienapparat zu Z. 3—8)
b) Kanon ⟨Nr. 34 der Apostel*; Metzger III 284, 119—125⟩ (vgl. auch Nr. 194, erwähntes Gesetz e) (οἱ θεῖοι καὶ ἱεροὶ κανόνες: Z. 8)
c) kanonische Bestimmung, welche das Verbot der Nachbesetzung ⟨einer Metropolis⟩ noch zu Lebzeiten des Amtsinhabers beinhaltet (nicht identifiziert) (vgl. ἐκτὸς τῆς θεσμοθεσίας τῶν θείων καὶ ἱερῶν κανόνων [Z. 15—16])
d) Schreiben des Patriarchen ⟨Kallistos I. oder Philotheos Kokkinos?⟩ an ⟨die Bischöfe Rußlands; vgl. Dar. Reg. 2336 (dort — aufgrund der Interpretation des Ausdrucks πρὸ δύο χρόνων [Z. 11—12] — dem Kallistos zugewiesen)⟩, mit welchem diese vor dem exkommunizierten Metropoliten Feodorit ⟨von Kiev⟩ gewarnt werden (vgl. ἐγράψαμεν καὶ πρότερον εἰς πάντα τὸν αὐτόθι τόπον [Z. 22])
e) Synodalbeschluß ⟨Kallistos' I.; ca. Juli 1352; Dar. Reg. 2336⟩: Absetzung und Exkommunikation des Metropoliten Feodorit ⟨von Kiev⟩ wegen Verstößen gegen die Kanones (vgl. ὡς καθῃρημένον παρὰ τῶν θείων κανόνων καὶ παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου [Z. 23—24]) (vgl. auch Nr. 196, erwähnte Urkunde d)
f) Kanon ⟨Nr. 2 des Antiochenum; Joannou I/2, 105, 13—106, 17⟩ (ὁ κανών: Z. 32) (vgl. Testimonienapparat zu Z. 32—33).

Zur nicht durch das vorliegende Dokument belegten Weihe des Feodorit zum Metropoliten von Kiev durch den Patriarchen von Tărnovo vgl. unten, Nr. 196, Z. 44—45, und J. Meyendorff, Byzantium and the Rise of Russia. A Study of Byzantino-Russian Relations in the Fourteenth Century. Crestwood, N.Y. 1981, 165, bzw. PLP 7334.

195

Überschrift (1). *Neuerliche Ermahnung zu Gehorsam gegenüber dem Metropoliten von Kiev, Alexios* (2—10). *Mitteilung über Theodoritos, dessen noch zu Lebzeiten des Metropoliten Theognostos gestelltes Ansuchen, diesem nachzufolgen, aufgrund des unkanonischen Charakters abgelehnt wurde* (11—19). *Theodoritos' Flucht nach Tărnovo und unkanonisches Handeln* (19—21). *Neuerliche Ermahnung, den exkommunizierten Theodoritos nicht aufzunehmen* (22—24). *Weitere Sanktionen gegen ihn und die, die mit ihm Gemeinschaft pflegen* (24 bis 29). *An den Bischof von Novgorod gerichtete persönliche Ermahnung und Strafandrohung* (30—33). *Aufforderung zum Gehorsam gegenüber dem Metropoliten von Kiev, Alexios* (33—38). *Schlußermahnung* (39—40). *Schlußgruß* (41). *Datierung* (42—43).

Εἰς τὸν αὐτὸν Νοβογραδίου

Ἀπὸ τῆς περιλήψεως τοῦ ἀπολυθέντος ἑτέρου γράμματος τῆς ἡμῶν μετριότητος εἰς σὲ μέλλεις γνωρίσειν, ὅσα ἔγραψε καὶ παρεδήλωσέ σοι ἡ μετριότης ἡμῶν περὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κυροῦ Ἀλεξίου, ὑπερτίμου καὶ ἀγαπητοῦ κατὰ Κύριον ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, ἵνα δηλονότι ἔχῃς εἰς αὐτὸν τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν ὡς μητροπολίτην σου, καθὼς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται. ἀλλὰ καὶ νῦν τὰ αὐτὰ παρεγγυᾶται τῇ θεοφιλείᾳ σου ἡ μετριότης ἡμῶν, καὶ ἀγωνίζου καὶ ἐπιμελοῦ, ἵνα ἀποπληροῖς οὕτως ἀμεταθέτως.

Γνωστὸν δὲ ἔστω τῇ θεοφιλείᾳ σου, ὅτι ὁ Θεοδώριτος πρὸ δύο χρόνων ἦλθεν ἐνταῦθα ἔτι ζῶντος τοῦ ἱερωτάτου ἀρχιερέως, κῦρ Θεογνώστου ἐκείνου, καὶ ἐζήτησεν, ἵνα γένηται μητροπολίτης Ῥωσίας. ἡμεῖς δὲ ἀκριβῶς ἐξετάσαντες καὶ εὑρόντες, ὅτι ὁ μητροπολίτης, κῦρ Θεόγνωστος, ἀκμὴν ἔζη, οὐδὲν παρεδεξάμεθα τοῦτον, ὅτι ἐκτὸς τῆς θεσμοθεσίας τῶν θείων καὶ ἱερῶν κανόνων ἐζήτει. διατοῦτο καὶ ἐλέγομεν πρὸς ἐκεῖνον, ὡς ἂν προσκαρτερήσῃ καὶ πέμψωμεν ἡμεῖς καὶ μάθωμεν τὴν ἀλήθειαν περὶ τοῦ μητροπολίτου ἐκείνου καὶ τότε, εἴ τι φανῇ καλόν, ἵνα ποιήσωμεν. ἐκεῖνος δὲ ἐγένετο φυγὰς εἰς τὸν Τύρνοβον καὶ ἐποίησε πρᾶγμα παραλογώτατον καὶ παρανομώτατον καὶ ἔξω τῶν κανόνων, ὅπερ οὐδὲν ἐγένετο ποτέ, ἀφ' οὗ ἐβαπτίσθη ἡ Ῥωσία.

Ἡμεῖς γοῦν ἐγράψαμεν καὶ πρότερον εἰς πάντα τὸν αὐτόθι τόπον, ἵνα οὐδὲν προσδέξησθε ποσῶς τὸν τοιοῦτον Θεοδώριτον ὡς καθῃρημένον παρὰ τῶν θείων κανόνων καὶ παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου· λοιπόν, εἰ μὲν ἐκβάλῃ καθόλου τὰ ἀρχιερατικά, ἵνα ἔνι μόνον ὡς ἁπλῶς Χριστιανός· εἰ δὲ φιλονεικεῖ κρατεῖσθαι καὶ ἐμμένειν εἰς τοῦτο, ἵνα ἔνι μὲν καὶ καθῃρημένος, ἔνι δὲ καὶ ἀφορισμένος καὶ ἀλλότριος τῆς χριστιανικῆς καταστάσεως, ἀλλὰ καὶ ἐκεῖνος, ὅστις μέλλει δέξασθαι εἰς κοινωνίαν | αὐτόν, κἂν ὅστις ἄρα καὶ ᾖ.

3—8 cf. linn. 32—38 documenti praecedentis

5—6 ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος MM || 17 προσκαρτερῇ MM || 19 Τόρνοβον MM

An denselben (Bischof) von Novgorod

Aus dem Inhalt des anderen an Dich expedierten Schreibens unserer Bescheidenheit wirst Du entnehmen, was unsere Bescheidenheit Dir in bezug auf den heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, Hypertimos und im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, schriftlich auftrug, nämlich daß Du ihm als Deinem Metropoliten die schuldige Unterordnung und den Gehorsam erweist, wie es die göttlichen und heiligen Kanones gebieten. Aber auch jetzt fordert unsere Bescheidenheit Deine gottgeliebte Person ebendazu auf: Kämpfe und bemühe Dich darum, dies genauso zu erfüllen!

Deine gottgeliebte Person nehme zur Kenntnis, daß Theodoritos vor zwei Jahren, noch zu Lebzeiten des heiligsten Erzpriesters, des verstorbenen Herrn Theognostos, hierher kam und ersuchte, Metropolit von Rußland zu werden. Da wir bei der genauen Überprüfung (der Angelegenheit) feststellten, daß der Metropolit, Herr Theognostos, noch lebte, akzeptierten wir ihn nicht, weil sein Ersuchen außerhalb (des Rahmens) der Satzungen der göttlichen und heiligen Kanones lag. Deshalb sagten wir ihm auch, daß er sich gedulden solle und wir durch Boten die Wahrheit über jenen Metropoliten erfahren und dann das, was uns richtig erscheine, tun würden. Er aber nahm Zuflucht nach Tărnovo und setzte eine ganz unvernünftige und gesetzwidrige Tat, außerhalb (des Rahmens) der Kanones, wie sie seit der Taufe Rußlands noch nicht vorgekommen war.

Wir schrieben nun schon früher an alle dortigen Stellen, daß Ihr unter keinen Umständen diesen Theodoritos aufnehmen sollt, da er durch die göttlichen Kanones und die göttliche und heilige Synode abgesetzt worden ist. So soll er also, wenn er auf erzpriesterliche (Würden) völlig verzichtet, lediglich als ein einfacher Christ leben; wenn er sich aber darauf versteift, um jeden Preis in diesem (Amt) zu verbleiben, soll er einerseits abgesetzt sein, aber auch exkommuniziert und aus dem Christenstand ausgeschlossen sein; desgleichen aber auch jener, wer immer er sei, der ihn in (seine) Gemeinschaft aufnehmen sollte.

Πρόσεχε γοῦν, ἵνα οὐδὲν παραδέξῃ ποσῶς τὸν τοιοῦτον Θεοδώριτον, ὡς ἂν μὴ ὑποπέσῃς καὶ σὺ εἰς τὴν καταδίκην, εἰς ἣν ἔνι καὶ ὁ Θεοδώριτος. λέγει γὰρ ὁ κανών, ὅτι ὁ ἀκοινωνήτῳ κοινωνῶν καὶ αὐτὸς ἀκοινώνητος ἔστω. ἀλλὰ μᾶλλον ἂς ἔχῃ ἡ θεοφιλεία σου πρὸς τόνδε τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας κατὰ τό, ὅπερ ἔχεις, χρέος εὐπείθειαν καὶ εὐλάβειαν καὶ ὑποταγήν, καθὼς καὶ διετέρου γράμματος πλατυκώτερον παρεδήλωσέ σοι ἡ μετριότης ἡμῶν. ἡ γὰρ πρὸς αὐτὸν τὸν ἱερώτατον μητροπολίτην, κῦρ Ἀλέξιον, τιμὴ εἰς τὸν Θεὸν ἀναφέρεται καὶ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει.

Συντηροῦ τοίνυν καὶ ποίει, καθά σοι παρεγγυώμεθα διὰ τοῦ παρόντος γράμματος.

Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ τῆς θεοφιλείας σου †.

Εἶχε τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ζ'* διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός *†*.

32—33 cf. Conc. Antioch., Can. 2 (I /2, 106, 11—17 Joannou) || 36—38 ἡ γὰρ—διαβαίνει] cf. adnotationem ad linn. 100—101 documenti 193 huius editionis spectantem

---

36 πλατύτερον MM || 38 μετριότητα ἡμῶν MM || 43 post crucem linn. 91 usque ad 93 documenti praecedentis (ἐπεὶ—ἀγαπητὸς) perperam iteratas canc. V

196

Philotheos Kokkinos und die Synode erklären Vladimir zum Sitz des Metropoliten von Kiev und ganz Rußland.

V 47, f. 150r-v — ⟨Juli 1354⟩
MM I 351—353 (Nr. 158) — συνοδικὸν γράμμα (Z. 58)
PG 152, 1343—1345
Dar. Reg. 2367

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg [2]1908, Prilož., 63—69 (Nr. 12) (nach MM) (im folgenden nicht herangezogen)

Sieh Dich also vor, unter keinen Umständen diesen selbigen Theodoritos aufzunehmen, damit Du nicht selbst unter die Verurteilung fällst, welcher Theodoritos unterworfen ist. Denn der Kanon sagt, daß derjenige, der mit einem Exkommunizierten Gemeinschaft hält, selbst exkommuniziert sein soll. Vielmehr erweise Deine gottgeliebte Person diesem heiligsten Metropoliten von Kiev und ganz Rußland gemäß Deiner Verpflichtung Gehorsam, Frömmigkeit und Unterordnung, wie Dir (dies) unsere Bescheidenheit bereits durch ein anderes Schreiben ausführlicher aufgetragen hat. Denn die dem heiligsten Metropoliten, Herrn Alexios, erwiesene Ehre bezieht sich auf Gott und geht auf unsere Bescheidenheit über.

Halte Dich also an das und handle gemäß dem, was wir Dir mit dem vorliegenden Schreiben auftragen.

Die Gnade Gottes sei mit Deiner gottgeliebten Person!

αὐτὸν ἐφ᾽ ὅρῳ τῆς ζωῆς αὐτοῦ κατὰ λόγον ἡγουμενείας, καθὰ δὴ ἐνταῦθα κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν ἐκδίδονται τοῖς ἀρχιερεῦσι μοναστήρια ἡγουμενικῶς, ὥστε τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν καὶ καταντήματος εὐπορεῖν καὶ τῆς προσηκούσης εὐκοσμίας καὶ θεοφιλοῦς ἀγωγῆς ἐπιμελεῖσθαι τῶν ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ ἀσκουμένων μοναχῶν.

Ἡ μετριότης ἡμῶν εὔλογον τὴν αἴτησιν ταύτην ἡγησαμένη καὶ κρίνασα τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα, δι᾽ οὗ δὴ καὶ ἐκδίδωσι πρὸς τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν ἡγουμενικῶς τὴν ῥηθεῖσαν σεβασμίαν πατριαρχικὴν μονὴν τοῦ Σπηλαίου ἐφ᾽ ὅρῳ τῆς ζωῆς αὐτοῦ μετὰ πάντων τῶν προσόντων αὐτῇ κτημάτων καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ προνομίων, ὥστε καὶ ἔχειν ἐν αὐτῇ κατάντημα διὰ τὴν οἰκείαν ἑαυτοῦ ἀσφάλειαν, ὡς εἴρηται.

Οὕτω δὲ παρακελευόμεθα τὰ περὶ τούτου, ἵνα οὐ μόνον καταμηδένα τρόπον ἔχῃ οὗτος ἐπαδείας ποτὲ ὡς οἰκείας τῆς μονῆς ἀντιποιήσασθαι καὶ ἀποσπάσαι αὐτὴν τοῦ πατριαρχικοῦ μέρους, ἀλλὰ καὶ ἀποδιδῷ τό τε ἀνῆκον ἄνωθεν κανονικὸν καὶ εἴ τι ἄλλο ἐστὶ τεταγμένον ἀποδίδοσθαι παρὰ τῆς μονῆς τῇ καθ᾽ ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ, ἀποδιδῷ δὲ τοῦτο ἀπὸ τοῦ ἐλευσομένου σεπτεβρίου σὺν Θεῷ τῆς ὀγδόης ἰνδικτιῶνος.

Ὀφείλει μέντοι προηγουμένως φροντίδα ποιεῖσθαι, ὅπως ἂν οἱ ἐνασκούμενοι αὐτῇ μοναχοὶ διαγωγῆς καὶ πολιτείας ἀντιποιοῖντο μοναχοῖς ἀνδράσι προσαρμοζούσης καί, ὡς ἐπηγγείλαντο Θεῷ, ἀναστρέφοιντο, ἔπειτα καὶ κατὰ τὸ δυνατὸν αὐτῷ καὶ τὰ ὑπ᾽ αὐτὴν κτήματα καὶ πράγματα βελτιοῖντο καὶ ἐπαύξοιντο, ὡς λόγον ἀποδώσων ὑπὲρ τούτων Θεῷ, ὀφειλόντων καὶ τῶν ἐν αὐτῇ μοναχῶν διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἄγειν αὐτὸν δὴ τὸν ἱερώτατον μητροπολίτην καὶ ὑπείκειν τούτῳ καὶ πειθαρχεῖν καὶ τὰ παρὰ τούτου | πρὸς αὐτοὺς λεγόμενα εὐπειθῶς δέχεσθαι — «πείθεσθε», γάρ φησι, «τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε» —, ἐπεὶ καὶ ἡ πρὸς αὐτὸν τιμὴ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει καὶ ἔχει τὴν ἀναφοράν, εἰδέναι ὀφείλοντες, ὡς ὁ ἐξ αὐτῶν ἀντιπράξων τούτῳ καὶ

38 λόγον ἀποδώσων] cf. Heb. 13, 17 || 42 Heb. 13, 17 || 43—44 ἡ ... τιμὴ διαβαίνει καὶ ἔχει τὴν ἀναφοράν] cf. annotationem nostram ad linn. 23—24 documenti 190 pertinentem

zeit Abt sei, wie ja hier, in dem gottgerühmten, gottgeschützten und gotterhöhten Konstantinopel den Erzpriestern Klöster übertragen werden, in denen sie die Funktion eines Abts innehaben. Daher möge ebendieser heiligste Metropolit von Palaiai Patrai so über eine Unterkunft verfügen und für die gebührende Ordnung und gottgefällige Lebensführung der in diesem verehrungswürdigen Kloster in Frömmigkeit lebenden Mönche sorgen.

Unsere Bescheidenheit hat dieses Ansuchen für begründet befunden und beurteilt und expediert die vorliegende Siegelurkunde, mit der sie ebendiesem heiligsten Metropoliten von Palaiai Patrai als Abt das genannte verehrungswürdige patriarchale Kloster Tu Spelaiu auf Lebenszeit mit allen diesem gehörenden Grundstücken, Sachgütern und übrigen Rechten und Privilegien übergibt, damit er, wie gesagt, in ihm auch eine Unterkunft zu seiner persönlichen Sicherheit habe.

Hiermit ordnen wir in seiner Angelegenheit an, daß es ihm nicht nur in keiner Weise gestattet sei, dieses Kloster jemals als sein Eigentum zu beanspruchen und es (so) dem Kompetenzbereich des Patriarchen zu entziehen, sondern daß er auch das von alters her gebührende Kanonikon und (alles), was sonst noch vom Kloster unserer heiligsten Großen Kirche Gottes in festgesetzter Weise zu leisten ist, leisten soll; er soll dies ab dem, so Gott will, kommenden September der 8. Indiktion leisten.

Er muß jedoch in erster Linie dafür Sorge tragen, daß sich die im Kloster fromm lebenden Mönche einer Lebensführung befleißigen, die den Insassen von Männerklöstern ansteht, und sich verhalten, wie sie Gott gelobt haben, weiters daß nach Möglichkeit durch ihn auch die dem Kloster unterstehenden Grundstücke und Sachgüter verbessert und vermehrt werden, da er Gott dafür Rechenschaft ablegen wird. Auch sollen die im Kloster (lebenden) Mönche diesem heiligsten Metropoliten mit aller ehrfürchtigen Scheu begegnen und sich ihm fügen und gehorchen und das, was er ihnen sagt, gehorsam aufnehmen, heißt es doch: „Gehorcht Euren Führern und fügt Euch ihnen“, weil die ihm erwiesene Ehre auf unsere Bescheidenheit übergeht und sich auf sie bezieht, und sie sollen wissen, daß,

25 ὥστε supra lin. suppl. V || 40 ἄγειν] ἔχειν MM || 44 ὀφείλοντες] sic V; nominativus absolutus pro ὀφειλόντων?

ἐναντιωθησόμενος ὥς τι ψωριῶν ἀπελαθήσεται παρ' αὐτοῦ τῆς μάνδρας Χριστοῦ, ἵνα μὴ λύμης καὶ τῷ ὑγιαίνοντι μεταδῷ.

Παρακελεύεται δὲ καὶ τοῦτο ἡ μετριότης ἡμῶν, ἵνα ἔχῃ ἐπαδείας ὁ αὐτὸς ἱερώτατος μητροπολίτης ἱερουργεῖν ἐν τῇ ῥηθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Σπηλαίου, ὅταν δεήσῃ καὶ καλῇ χρεία πρὸς τοῦτο· τελῆται δὲ ὀφειλομένως ἡ ἀναφορὰ καὶ μνήμη τῆς ἡμῶν μετριότητος ἐν
155v τῇ μονῇ ὑποκειμένῃ ὑπὸ || τὴν πατριαρχικὴν ἐξουσίαν, ἔπειτα μνημονεύηται ὡς καθηγούμενος ἁπλῶς καὶ ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται αὐτῷ δὴ τῷ δηλωθέντι ἱερωτάτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀχαΐας, ἀγαπητῷ κατὰ Κύριον ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος †.

Εἶχε τό· *μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ζ'* διὰ τιμίας πατριαρχικῆς χειρός †.

45—46 ὥς τι ψωριῶν—μεταδῷ] cf. Anast. Sin., Quaest. LX: πρόβατον ψωραλέων μεταδίδωσιν ἑτέροις τῆς νόσου μὴ χωρισθέντων τῶν ὑγιαινόντων προβάτων (*PG* 89, 641 B 4—6)

47—48 in marg. dextra ση(μείωσαι) V || 59 ἰανουαρίῳ MM || 60 infra vocem χειρός eadem manus λυκοβούν(ιον) scripsit, quod ad documentum sequens spectare videtur: Λυκοβούνιον est monasterium sancti Georgii in provincia Peloponnesi situm;

207

Philotheos Kokkinos betraut den Metropoliten Dorotheos von Monembasia mit der Wahrnehmung der Rechte eines patriarchalen Exarchen in den patriarchalen Klöstern der Kirchenprovinz Peloponnes.

V 47, f. 155v	μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ζ' (Z. 28)
MM I 328—329 (Nr. 144)	Januar ⟨1354⟩
PG 152, 1329—1330	γράμμα (Z. 26)
Dar. Reg. 2354	

wer von ihnen ihm zuwiderhandelt und sich ihm widersetzt, von ihm wie ein räudiges (Schaf) aus der Hürde Christi vertrieben werden wird, damit er die Seuche nicht auf den gesunden Teil überträgt.

Unsere Bescheidenheit ordnet aber auch dies an, daß es (nämlich) selbigem heiligsten Metropoliten erlaubt sein soll, im genannten verehrungswürdigen patriarchalen Kloster Tu Spelaiu als Priester zu wirken, wenn es erforderlich ist und Bedarf dafür besteht. Weiters soll pflichtgemäß die Kommemoration und das Andenken unserer Bescheidenheit in dem der patriarchalen Verfügungsgewalt unterstehenden Kloster vollzogen werden; im Anschluß daran soll (in der Liturgie) auch des genannten heiligsten Metropoliten von Palaiai Patrai, und zwar einfach als Abtes, gedacht werden.

Zur diesbezüglichen Sicherung nämlich wurde für den genannten heiligsten Metropoliten von Palaiai Patrai, Hypertimos und Exarchos von ganz Achaia, den im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, auch die vorliegende Siegelurkunde unserer Bescheidenheit expediert.

(Das Original) hatte die (Menologemunterschrift) „Im Monat Januar der 7. Indiktion" von der ehrwürdigen Hand des Patriarchen.

cf. documentum (a Macario Melisseno falsificatum) imperatoris Andronici II (Dö. Reg. 2237)

207

Übertragung der patriarchalen Rechte (1—4). *Aufzählung dieser Rechte* (5—23). *Strafandrohung für Ungehorsame* (23—25). *Ausstellungsvermerk* (26—27). *Datierung* (28—29).

† Ἡ μετριότης ἡμῶν ἀνατίθησι σοί, τῷ ἱερωτάτῳ μητροπολίτῃ Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου, ἀγαπητῷ κατὰ Κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, τὴν ἐν τῇ Πελοποννήσῳ ἀνήκουσαν πᾶσαν ἐξαρχίαν τοῖς πατριαρχικοῖς δικαίοις.

Ὅθεν ἐπιτηρήσεις μὲν πάντα τὰ ὑπὸ τὸ πατριαρχεῖον τελοῦντα μοναστήρια διδάξεις τὲ τοὺς ἐνασκουμένους αὐτοῖς μοναχοὺς θεοφιλοῦς ἔχεσθαι βίου καὶ κατὰ τὸ ἐπάγγελμα πολιτεύεσθαι· καὶ τοὺς μὲν πειθομένους ἀποδοχῆς ἀξιώσεις, ὅσους δὲ ἀπειθοῦντας εὑρήσεις, ἰατρεύσεις αὐτούς, νῦν μὲν ἡμερωτέροις, νῦν δὲ αὐστηροτέροις φαρμάκοις χρώμενος. ὡσαύτως καταστήσεις ἐν αὐτοῖς ἡγουμένους, ὅσους δοκιμάσεις τῶν εὑρισκομένων εἰς τὸν αὐτόθι τόπον μᾶλλον τῶν ἄλλων ἐπιτηδειοτέρους εἰς τὴν τοιαύτην λειτουργίαν, ἐπιτηρήσεις τὲ τὰ | προσόντα τοῖς τοιούτοις μοναστηρίοις κτήματά τε καὶ πράγματα καὶ διδάξεις τοὺς διακονοῦντας καὶ διενεργοῦντας αὐτὰ προσέχειν ἑαυτοῖς, μὴ θίγειν ἀσυνειδήτως τῶν ἱερῶν, ἐνθυμουμένους τὸ κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν καί, ὡς ὁ ἐκείνων θάνατος καὶ ἡ τῆς προσκαίρου ζωῆς ἀφαίρεσις τύπος ἐστὶν ἐκπτώσεως τῆς αἰωνίου ζωῆς, ἥτις ἐξανάγκης ἕψεται τοῖς πλεονεκτικὴν χεῖρα τοῖς ἀνατεθειμένοις Θεῷ ἐπιβάλλουσιν· ἱερουργήσεις τὲ ἐν τοῖς τοιούτοις μοναστηρίοις καὶ χειροτονήσεις κατὰ τὴν ἐπικρατήσασαν ἐκκλησιαστικὴν συνήθειαν, ὀφειλόντων καὶ τῶν ἐνασκουμένων ἐν τοῖς μοναστηρίοις μοναχῶν πείθεσθαι τῇ ἱερότητί σου, ἐφ' οἷς μέλλεις λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς τὴν πνευματικὴν αὐτῶν προκοπήν τε καὶ αὔξησιν· κατὰ δὲ τῶν τελέως ἀπειθούντων καὶ μὴ ἐθελόντων ὑπακούειν καὶ βάρος ἀφορισμοῦ ἐπισείομεν, ὅπερ λύσει ἡ ἱερότης σου τῇ μετανοίᾳ προσδραμόντων αὐτῶν.

Τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται πρὸς τὴν ἱερότητά σου δι' ἀσφάλειαν.

Εἶχε τό· *μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ζ'* διὰ τιμίας πατριαρχικῆς χειρός †. ||

15—16 cf. Act 5, 1—11 || 18 τοῖς—ἐπιβάλλουσιν] cf. linn. 160—161 documenti 184 et lin. 46 documenti 190 huius editionis

Unsere Bescheidenheit überträgt Dir, dem heiligsten Metropoliten von Monembasia, Hypertimos und Exarchos der ganzen Peloponnes, dem im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, die gesamte Exarchengewalt für die patriarchalen Rechte in der (Kirchenprovinz) Peloponnes.

Deshalb sollst Du alle dem Patriarchat unterstehenden Klöster beaufsichtigen und die in ihnen fromm lebenden Mönche belehren, daß sie sich an ein gottgefälliges Leben halten und sich dem Gelübde gemäß benehmen. Die Gehorsamen sollst Du des Lobes würdigen, alle aber, die Du ungehorsam findest, sollst Du heilen; das eine Mal mit milderen, das andere Mal mit schärferen Heilmitteln. Ebenso sollst Du in diesen (Klöstern) Äbte einsetzen, die Du dort vor Ort für diese Funktion für geeigneter als die anderen hältst. Du sollst auch die zu diesen Klöstern gehörigen Grundstücke und Sachgüter beaufsichtigen und die, die dort ihren Dienst verrichten und (die Güter) bewirtschaften, lehren, auf sich zu achten und nicht gewissenlos am Heiligen zu rühren: Sie sollen das Schicksal des Ananias und der Sappheira bedenken, daß nämlich deren (= des Ananias und der Sappheira) Tod und der Verlust des vergänglichen Lebens ein Gleichnis für den Verlust des ewigen Lebens ist, eine notwendige Folge für Leute, die die habgierige Hand an Dinge legen, die Gott geweiht sind. Auch sollst Du nach gültiger kirchlicher Gewohnheit in diesen Klöstern als Priester wirken und Weihen spenden. Dabei sollen die in den Klöstern fromm lebenden Mönche Deiner Heiligkeit gehorchen in dem, was du ihnen in allen Belangen, die ihrem spirituellen Fortschritt und Wachstum dienen, sagen wirst. Jenen aber, die gänzlich ungehorsam sind und nicht hören wollen, drohen wir auch die Exkommunikation an, die Deine Heiligkeit lösen soll, wenn sie sich bußfertig zeigen.

Deswegen ist nämlich auch das vorliegende Schreiben unserer Bescheidenheit zur Sicherheit an Deine Heiligkeit expediert worden.

(Das Original) hatte von der ehrwürdigen Hand des Patriarchen (die Menologemunterschrift): „Im Monat Januar der 7. Indiktion“.

2 πάσης supra lin. suppl. V | Πελοπονήσου V || 4 Πελοπονήσῳ V || 9—11 in marg. ση(μείωσ)αι scripsit man. post. || 10 δοκιμάσης V, MM || 19 τὲ] δὲ MM || 28 ἰανουαρίῳ MM || 29 post finem documenti quarta fere pars f. 155^{v} scriptura caret

208

Philotheos Kokkinos erläßt eine Urkunde zugunsten eines hohen Klerikers der Großen Kirche in Konstantinopel.

V 47, f. 156r ⟨Januar 1354 (?)⟩
DAR. Reg. 2355

156r † Ἡ μετριότης ἡμῶν τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας προστασίαν ἐμπιστευθεῖσα παρὰ Θεοῦ περιπλείστου ποιεῖται τὴν τοῦ οἴκου τοῦ Θεοῦ καλλονὴν καὶ εὐπρέπειαν, ἀγαπῶσα διαφερόντως αὐτὴν κατὰ τὸν θεοπάτορα καὶ μέγαν ἐν προφήταις Δαυΐδ· εὐπρέπεια δ' ἂν εἴη καὶ κόσμος μᾶλλον οἰκεῖος τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ Μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ οἱ ἐν τῷ κλήρῳ ταύτης κατειλεγμένοι ἄνδρες λογάδες καὶ συνέσει τῶν πολλῶν διαφέροντες ⟨... ||

2—3 τὴν—εὐπρέπειαν] cf. Ps. 25, 8

3 καλονὴν V || 7 textus (forsitan solum specimen prooemii) hic des.; reliqua (maxima) pars f. 156r scriptura caret

209

Der Metropolit Meletios von Palaiai Patrai verspricht, künftig keinerlei Ansprüche auf das Kloster Mega Spelaion zu erheben.

V 47, f. 156v	μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ζ' (Z. 30)
MM I 329—330 (Nr. 145)	Januar ⟨1354⟩
PG 152, 1330	ἔγγραφον ... ὑποσχετικόν (Z. 13—14)
(vgl. DAR. Reg. 2353)	ἔγγραφος ὑπόσχεσις (Z. 26)

Erwähnte Urkunden und Gesetze:

a) Siegelurkunde des Patriarchen ⟨Philotheos Kokkinos; Januar 1354; DAR. Reg. 2353⟩ (= oben, Nr. 206) für den Metropoliten ⟨Meletios⟩ von Palaiai Patrai: Dem Metropoliten wird das Kloster Mega Spelaion als Unterkunft übergeben, in dem er bis an sein Lebensende als Abt wirken soll (σιγιλλιῶδες γράμμα: Z. 8—9 und 24) (vgl. den Testimonienapparat zu Z. 1—11, 18 und 24—25).

208

Unsere Bescheidenheit, der die Führung der ökumenischen Kirche von Gott anvertraut worden ist, legt größten Wert auf die äußere und innere Schönheit des Hauses Gottes und liebt sie im Sinne des Vorfahren Gottes und großen Propheten David im besonderen Maße. Als innere Schönheit und unserer heiligsten Großen Kirche Gottes im besonderen eigene Zier darf man wohl die auserwählten führenden Männer in ihrem Klerus (bezeichnen), die sich von der großen Masse durch ihren Verstand unterscheiden ...

209

Bedrängte Lage des Metropoliten von Palaiai Patrai aufgrund der politischen Wirren (1—5). *Unterstützung von seiten des Patriarchen durch Ernennung des Metropoliten zum Abt des Klosters Mega Spelaion und Zuweisung dieses Klosters als Unterkunft* (5—11). *Versprechen des Metropoliten, künftig keine unrechtmäßigen Ansprüche bezüglich des Klosters zu erheben und dessen patriarchalen Status zu beachten* (11—28). *Ausstellungsvermerk* (29—30). *Unterschrift* (31).

156^{r} † Ἐπεὶ ἀπὸ τῆς παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας κατήντησε καὶ τὰ τῆς κατ᾽ ἐμὲ ἐκκλησίας εἰς ὅσην δὴ καὶ κατήντησε στενότητα κἀντεῦθεν ὡς μὴ ἔχων κατάντημα περιεφερόμην τῇδε κἀκεῖσε, βλέπων καθεκάστην ἐπηρτημένον μοι κίνδυνον ἐκ τῆς ἐπιθέσεως τῶν ἐχθρῶν καὶ διατοῦτο ὁδηγηθεὶς ἀπὸ τοῦ Θεοῦ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κατηλέησέ με καὶ προμηθείας ἠξίωσεν ἀπὸ τῆς ἐμφύτου αὐτοῦ χρηστότητος καὶ συμπαθείας καὶ παρεκελεύσατο διὰ τιμίου αὐτοῦ σιγιλλιώδους γράμματος, ἵνα τὴν σεβασμίαν πατριαρχικὴν μονὴν τοῦ Σπηλαίου κρατῶ καὶ διεξάγω ἡγουμενικῶς ἐφ᾽ ὅρῳ τῆς ζωῆς μου καὶ ἐπιμελῶμαι τῆς συστάσεως αὐτῆς καὶ ἐπὶ τὸ κρεῖττον βελτιώσεως, ἰδοὺ τυχὼν τῆς τοιαύτης προμηθείας καὶ εὐχαριστῶν καὶ τούτου ἕνεκα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, τὸ παρὸν ἔγγραφόν μου ὑποσχετικὸν ἐκτίθε|μαι, δι᾽ οὗ καὶ τάττω καὶ βεβαιῶ, ἵνα, εἰ καὶ πεπλανημένον εἶχον πρότερον λογισμόν, ὅτι ἔχει ποσῶς μετοχὴν τινὰ ἡ τῶν Παλαιῶν Πατρῶν μητρόπολις ἐπὶ τῷδε τῷ μοναστηρίῳ, ἀλλ᾽ οὖν, ἐπεὶ ἐξήτασα καὶ εὗρον ἀκριβῶς, ὅτι οὐδόλως μετέχει ἡ τοιαύτη ἐκκλησία ἐπὶ τούτῳ ἅτε δὴ ἄνωθεν ὑποκειμένῳ τῇ πατριαρχικῇ περιωπῇ — καὶ εἰμὶ ἐγὼ εἰς τοῦτο μάρτυς πρὸ τῶν ἄλλων —, οὐδὲν πειραθῶ μεταταῦτά ποτε ἢ ζητῆσαι ἢ ἀντιποιήσασθαι ὡς μητροπολιανοῦ τοῦδε τοῦ πατριαρχικοῦ μοναστηρίου τῆς Σπηλαιωτίσσης, ἀλλὰ ἔχω τὴν τούτου ἡγουμενείαν ἐφ᾽ ὅρῳ τῆς ζωῆς μου καὶ ἐπιμελῶμαι τῆς συστάσεως καὶ βελτιώσεως αὐτοῦ τὲ καὶ τῶν προσόντων αὐτῷ κατὰ τὴν περίληψιν τοῦ ἀπολυθέντος μοι τιμίου σιγιλλιώδους γράμματος, φροντίζων καὶ τῆς ψυχικῆς ὠφελείας καὶ εὐταξίας τῶν μοναχῶν. εἰ δὲ οὐδὲν συντηρηθῶ εἰς τὴν παροῦσαν μου ἔγγραφον ὑπόσχεσιν ἀποπληρῶν οὕτως, ἵνα ἐκβάλλωμαι ἀπὸ τῆς ἡγουμενείας τοῦ τοιούτου πατριαρχικοῦ μοναστηρίου.

Διὰ γοῦν τὴν περὶ τούτου βεβαίωσιν ἐπιστωσάμην αὐτὴν καὶ οἰκειοχείρῳ ὑπογραφῇ μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ζ′ †.

† Ὁ Παλαιων Πατρων Μελέτϊος †. ||

1—5 cf. linn. 3—10 documenti 206 || 8—11 cf. linn. 14—38 documenti 206 || 18 cf. linn. 12—13 documenti 206 || 24—25 cf. lin. 21 et linn. 34—36 documenti 206

---

14 ὑποσχητικὸν MM || 29 καὶ om. MM || 30 ἰανουαρίῳ MM || 31 Μακάριος MM; subscriptionem manui ipsius metropolitae attribuit Dar. Reg., errorem a MM

Aufgrund der Wirren, die den Zuständen durch die Menge (unserer) Sünden mit Gottes Duldung entstanden, geriet auch meine Kirche in die große Bedrängnis, in die sie eben geriet. Ich wanderte daher ohne Unterkunft hierhin und dorthin und sah täglich der Gefahr, die mir von einem Angriff der Feinde drohte, entgegen. Deshalb erbarmte sich meiner, von Gott geführt, unser hochheiligster Herr, der ökumenische Patriarch, und würdigte mich aus der ihm innewohnenden Güte und seinem Mitleid heraus seiner Fürsorge. Er ordnete mit seinem ehrwürdigen Siegelbrief an, daß ich das verehrungswürdige patriarchale Kloster Tu Spelaiu in Besitz nehmen, auf Lebenszeit als Abt leiten und für seine Bewahrung und Verbesserung {zum Besseren} sorgen solle. Da ich nun in den Genuß dieser Fürsorge gekommen bin und auch deshalb unserem hochheiligsten Herrn, dem ökumenischen Patriarchen, danke, errichte ich diese meine vorliegende Versprechensurkunde, durch die ich (folgendes) für verbindlich erkläre und bekräftige: Obwohl ich vorher der irrigen Auffassung war, die Metropolis Palaiai Patrai habe in irgendeinem Ausmaß bezüglich dieses Klosters Rechtsansprüche, will ich aber nunmehr, nachdem ich nach genauer Prüfung herausgefunden habe, daß selbige Kirche (von Palaiai Patrai) keinerlei Rechtsanspruch darauf hat, da es (= das Kloster) nämlich seit jeher der patriarchalen Aufsicht untersteht — und ich bin dafür vor allen anderen Zeuge —, in Hinkunft niemals versuchen, Forderungen oder Ansprüche bezüglich dieses patriarchalen Klosters der Spelaiotissa als ein Metropolitankloster zu erheben; sondern ich will auf Lebenszeit sein Abt sein und für die Erhaltung und Verbesserung des Klosters sowie seines Eigentums gemäß dem Inhalt des für mich expedierten ehrwürdigen Siegelbriefes sorgen und dabei auch für den seelischen Nutzen und die gute Ordnung der Mönche Sorge tragen. Sollte ich mich aber nicht an mein vorliegendes schriftliches Versprechen halten und es nicht in dieser Form erfüllen, dann soll ich als Abt dieses patriarchalen Klosters abgesetzt werden.

Zur diesbezüglichen Bekräftigung nun habe ich (das Versprechen) mit meiner eigenhändigen Unterschrift im Monat Januar der 7. Indiktion beglaubigt.

Meletios von Palaiai Patrai.

---

commissum („métropolite Macaire de Patras") repetens | post finem documenti praesentis dimidia fere pars f. 156^{v} scriptura caret in V; quod ad f. 157^{r-v} pertinet, v. commentarium nostrum ad linn. 3—32 documenti 184 spectantem

210

Die Synode tritt den Vermittlungsversuchen des Patriarchen Philotheos Kokkinos in den Auseinandersetzungen zwischen Ioannes V. Palaiologos und Ioannes VI. Kantakuzenos bei.

V 47, f. 158r — ⟨vor 22. November 1354⟩
MM I 353—354 (Nr. 159) — ἀναφορά (Z. 25)
PG 152, 1345
Dar. Reg. 2362

Erwähnte Urkunden und Gesetze:
a) Gleichschrift der vorliegenden Eingabe, die von denselben Erzpriestern unterzeichnet und an Kaiser ⟨Ioannes VI.⟩ Kantakuzenos geschickt wurde (ἔγγραφον τῆς ἀναφορᾶς ἴσον: Z. 25).

158r † Ἐπεὶ παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν συνέβη, ἥτις δὴ καὶ συνέβη, διάστασις μεταξὺ τῶν κραταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων κἀντεῦθεν τῆς τοσαύτης δυσχερείας καὶ ἐναντιότητος ἐπελθούσης ἐπισυμβαίνει καὶ κοινὸς ὄλεθρος καὶ παντελὴς φθορὰ τῶν Χριστιανῶν, ὁ δέγε παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὡς τὴν πνευματικὴν προστασίαν λαβὼν ἀπὸ τοῦ Θεοῦ, συνδιασκεψάμενος ἡμῖν πᾶσι κατὰ τὸ εἰκὸς καὶ προμήθειαν ποιησάμενος, δεῖν ἔγνω παραγενέσθαι δι᾿ ἑαυτοῦ καὶ εἰς ἀμφοτέρους τούτους τοὺς βασιλεῖς, ὥστε σὺν βοηθείᾳ Θεοῦ ἀποκαταλλάξαι καὶ εἰρηνεῦσαι | τὴν τοιαύτην διάστασιν, κοινωσάμενος τὰ περὶ τούτου πάσῃ τῇ ὁμηγύρει καὶ ἀδελφότητι ἡμῶν τῶν ἀρχιερέων.

Ἤδη τὴν τοιαύτην προμήθειαν, ὡς ἄνωθεν καὶ ἐκ Θεοῦ καταπεμφθεῖσαν, συμφέρουσαν καὶ κοινωφελῆ ὁμοῦ κρίναντες συμψηφιζόμεθα καὶ δι᾿ οἰκείων γνωμῶν καὶ οἰκειοχείρων ὑπογραφῶν κυροῦμεν καὶ βεβαιοῦμεν ἀσμένως τὲ καὶ ὅλῃ διαθέσει καὶ προθυμίᾳ ψυχῆς — καὶ ὅσοι δηλονότι ἀφ᾿ ἡμῶν τῶν τῆς ἱερᾶς συνόδου διὰ τὴν ἐπιγενομένην εἰς ἡμᾶς ἀπὸ τοῦ καιροῦ στενοχωρίαν καὶ ἔνδειαν οὐκ ἰσχύομεν ἀκολουθῆσαι κατὰ τό, ὅπερ ἔχομεν, χρέος αὐτῷ δὴ τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ — καὶ στέργομεν κοινῇ, ὅσον ἂν διὰ τὴν

7 ἡμῖν πᾶσι supra lin. suppl. V || 16 δηλονότι] litt. δη ex ἀφ᾿ corr. V

210

Philotheos Kokkinos teilt der Synode seinen Plan mit, sich persönlich zu den beiden Kaisern zwecks eines Vermittlungsversuches zu begeben (1—11). *Billigung aller Schritte des Patriarchen im Rahmen dieser Initiative durch die Synode* (12—23). *Unterzeichnungsvermerk der an Kaiser Ioannes VI. Kantakuzenos geschickten Kopie* (24—26).

Da es mit Gottes Zustimmung wegen vieler Sünden zu dem Zwist zwischen unseren mächtigen und heiligen Gebietern und Kaisern kam, zu dem es eben kam, und es, nachdem dieses große Unglück und die Verfeindung eingetreten waren, in der Folge noch zu dem allgemeinen Verderben und der vollkommenen Katastrophe der Christen kommt, beriet sich unser hochheiligster Herr, der ökumenische Patriarch, da er von Gott die geistliche Führung erhalten hat, in seiner Fürsorge gebührenderweise mit uns allen und erachtete es als notwendig, sich persönlich zu beiden Kaisern zu begeben, um sie mit Gottes Hilfe zu versöhnen und diesen Zwist zu einem friedlichen Ende zu bringen, und setzte unsere gesamte Versammlung und Bruderschaft der Erzpriester diesbezüglich in Kenntnis.

Wir erachten nun gemeinsam diese (= seine) Fürsorge, da sie von oben und von Gott gesandt wurde, als förderlich und allgemein nützlich und stimmen (ihr) zu. Daher bestätigen und bekräftigen wir — darunter auch die Mitglieder unserer heiligen Synode, die aufgrund der über uns gekommenen Bedrückung und Not der Zeit nicht, wie es unsere Pflicht ist, unserem hochheiligsten Herrn, dem ökumenischen Patriarchen, folgen können — mit unserem eigenen Willen und eigenhändigen Unterschriften gerne und voller innerer Zustimmung und Anteilnahme (alles), was auch immer unser hochheiligster Herr, der ökumenische Patriarch, mit Gott zur (Erreichung) dieser allgemein

κοινωφελῆ εἰρηναίαν ταύτην σὺν Θεῷ κατάστασιν ἰσχύῃ καὶ διαπράξηται ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐπειδὴ τοῦτο ἐστὶ καὶ εἰς ἀρέσκειαν τοῦ Θεοῦ καὶ εἰς τὴν τῶν ὑπολειφθέντων ἀθλίων Χριστιανῶν σύστασιν καὶ ἀσφάλειαν ψυχῇ καὶ σώματι.

† Ὑπεγράφη δὲ οἰκειοχείρως παρὰ πάντων τῶν τοιούτων ἀρχιερέων τὸ πεμφθὲν καταπάντα ἔγγραφον τῆς ἀναφορᾶς ἴσον πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα τὸν Καντακουζηνόν †. ||

20 ἰσχύει MM; ἰσχύσει proposuit Matses VI 4 || 20—21 διαπράξεται MM || 23 ἀθλίων supra lin. suppl. V || 26 Καντακουζηνόν] partem subscriptionis autographae Ioannis Cantacuzeni imitari conatus est amanuensis registri (Georgius Galesiota) | post finem documenti dimidia fere pars f. 158r et totum f. 158v scriptura carent in V

211

Wiederaufnahme der Registriertätigkeit nach dem Bürgerkrieg und der Rückkehr Kallistos' I.

V 47, f. 159r ⟨Februar/August 1355⟩
MM I 354—355 (Nr. 160)
PG 152, 1345—1346
(vgl. Dar. Reg. 2376)

Erwähnte Urkunden und Gesetze:

a) Synodaltomos über die Verurteilung der Ansichten des Barlaam und ihm Gleichgesinnter, ⟨Juli 1341; Dar. Reg. 2213⟩ (= oben, Nr. 132) (συνοδικὸς τόμος: Z. 22 und 29)
b) Register ⟨des Patriarchats von Konstantinopel⟩ (ἐκκλησιαστικὸν κωδίκιον: Z. 29—30; κωδίκιον: Z. 31 und 35)
c) angeblich vom Megas Chartophylax ⟨Ioannes⟩ Amparis und seinen Komplizen aus dem Register entfernte Synodalpraxeis (συνοδικαὶ πράξεις: Z. 31)
d) Befehl des Patriarchen Kallistos I., die Registriertätigkeit unter seinem Patriarchat wieder aufzunehmen (παρακέλευσις: Z. 33—34).

159r † Ἐπειδὴ παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν συνέβη, ἥτις δὴ καὶ συνέβη, διάστασις πρότερον μεταξὺ τῶν βασιλέων καὶ τῆς δυσχερείας καὶ ἐναντιότητος, ὡς μὴ ὤφελεν, ἐπικρατούσης, ἐπιβούλως μὲν καὶ ἀδίκως ἀπεδιώχθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς,

1—3 cf. linn. 1—3 documenti praecedentis

nützlichen friedlichen Lage zu unternehmen imstande ist, und erklären uns damit gemeinschaftlich einverstanden. Denn dies gefällt sowohl Gott, als es auch der seelischen und körperlichen Unterstützung und Sicherheit der verbliebenen armseligen Christen dient.

Die in allem übereinstimmende Gleichschrift der Eingabe, die an unseren mächtigen und heiligen Gebieter und Kaiser Kantakuzenos geschickt wurde, war eigenhändig von allen diesen Erzpriestern unterzeichnet worden.

211

Vertreibung des Kaisers Ioannes V. und des Patriarchen Kallistos I. während der Bürgerkriegswirren (1—10). *Einsetzung des Patriarchen Philotheos Kokkinos* (10—11). *Rückkehr des Kaisers und des Patriarchen Kallistos I.* (12—18). *Vernichtung des Synodaltomos (von 1341) und weiterer Synodalurkunden unter dem Chartophylax Amparis* (19—32). *Wiederaufnahme der Registriertätigkeit* (33—36).

Da es mit Gottes Zustimmung wegen vieler Sünden zuerst zu dem Zwist zwischen den Kaisern kam, zu dem es eben kam, und, wie es nicht geschehen hätte sollen, Schwierigkeit und Feindseligkeit die Oberhand gewannen, wurde unser mächtiger und heiliger Gebieter

3 ἐπιβούλως μὲν] sub litt. ως μ lin. ducta in V

κῦρ Ἰωάννης ὁ Παλαιολόγος, ἀπὸ τῆς προγονικῆς καὶ πατρικῆς αὐτοῦ ἀρχῆς, ὁ γνήσιος δηλαδὴ καὶ φυσικὸς κληρονόμος τῆς ἐκ Θεοῦ βασιλείας τῶν Ῥωμαίων· ὑπερζηλώσας δὲ κατὰ τὸν δίκαιον καὶ ἀληθῆ λόγον καὶ τὰς κανονικὰς καὶ νομικὰς διατάξεις ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Κάλλιστος, ἐξώσθη μὲν διατοῦτο τοῦ πατριαρχικοῦ αὐτοῦ θρόνου, ἀδίκως ὑπερόριος γεγονώς· ἀντεισήχθη δέ, ὡς ἔδοξεν, ὁ χρηματίσας κῦρ Φιλόθεος.

Εἶτα εὐδοκίᾳ τοῦ παναγάθου Θεοῦ δικαιωθεὶς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διὰ μεσιτείας καὶ ἀν|τιλήψεως τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος εἰσῆλθε παραδόξως εἰς τὴν θεοδόξαστον πόλιν αὐτοῦ· ἐπανῆλθε δὲ μετολίγον καὶ ὁ ῥηθεὶς παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐπειλημμένος κανονικῶς καὶ ἐννόμως τῆς ἐκκλησίας αὐτοῦ ὡς γνήσιος αὐτῆς καὶ ἀληθὴς ποιμὴν καὶ διδάσκαλος Χριστοῦ χάριτι.

Ἐντωμεταξὺ δὲ τὶς ἢ καί τινες χαιρέκακοι μετὰ τοῦ ποτὲ μεγάλου χαρτοφύλακος, τοῦ Ἄμπαρι, κατειλεγμένοι τηνικαῦτα τῇ ἐκκλησίᾳ, εἰς τοῦτο τόλμης καὶ αὐθαδείας ἦλθον, ὥστε οὐ μόνον τὸν ἐπ' εὐσεβείᾳ τῶν ἱερῶν δογμάτων ἐκτεθειμένον συνοδικὸν τόμον, ὑπὲρ οὗ ὁ ἀοίδιμος καὶ εὐσεβέστατος βασιλεύς, ὁ πατὴρ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τῆς μεγάλης ἐκείνης συνόδου συναθροισθείσης ἐν τῷ παμμεγίστῳ καὶ θειοτάτῳ ναῷ τῆς τοῦ Θεοῦ λόγου Σοφίας, πλεῖστα ἐμόγησε καί, ὡς ἅπαντες ἴσασιν, οὐ μικρὸν πόνον ὑπέστη διὰ τὰς ἀπὸ τοῦ Θεοῦ μισθαποδοσίας καὶ ταῦτα τῳτότε ὑπὸ τῆς ἐνσκηψάσης ἐκείνῳ χαλεπῆς καὶ θανατηφόρου νόσου κατατεινόμενος καὶ πρὸς ταῖς τελευταίαις ἀναπνοαῖς ὤν, τοῦτον τὸν ἱερὸν συνοδικὸν τόμον ἐν τῷ ἐκκλησιαστικῷ κωδικίῳ καταγεγραμμένον διέρρηξαν καὶ κατέλυσαν, ἀλλὰ καὶ τὰς ἐν τῷ αὐτῷ κωδικίῳ κειμένας συνοδικὰς πράξεις ἠφάνισαν, καθάπερ ἤδη ὁρᾶται.

Ἤδη κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν αὖθις παρακελεύσει αὐτοῦ δὴ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἤρξαντο καταστρώννυσθαι ἐν τῷδε τῷ ἱερῷ κωδικίῳ τὰ συνοδικὰ ἔγγραφα σημειώματα †. ||

13 μεσιτείας] litt. σι difficulter leguntur || 15 αὐτοῦ] ἑαυτοῦ MM | μετολίγον] sub litt. ολ lin. ducta in V || 19 ἐντωμεταξὺ] sub litt. ωμ lin. ducta in V || 20 Ἄμπαρι e lin. 32 documenti 197 huius editionis coniecimus; Ἀμπρο V, MM ||

und Kaiser, Herr Ioannes Palaiologos, der echte und natürliche Erbe nämlich des aus Gott stammenden Kaisertums der Rhomäer, hinterhältig und ungerechterweise von seiner vorväterlichen und väterlichen Herrschaft fortgejagt. Daher wurde unser hochheiligster Herr, der ökumenische Patriarch, Herr Kallistos, als er sich (für ihn) gemäß dem gerechten und wahren Wort und den kanonischen und gesetzlichen Bestimmungen einsetzte, von seinem Patriarchenthron vertrieben und zu Unrecht verbannt; an seine Stelle aber wurde, wie man beschloß, der ehemalige (Patriarch), Herr Philotheos, gesetzt.

Später erhielt durch das Wohlwollen des allgütigen Gottes unser mächtiger und heiliger Gebieter und Kaiser Recht und zog durch Vermittlung und Hilfe der überaus reinen Herrin und Gottesmutter auf wunderbare Weise in seine gottgepriesene Stadt ein. Nach kurzem kam auch unser erwähnter hochheiligster Herr, der ökumenische Patriarch, zurück, übernahm kanonisch und rechtens seine Kirche als ihr echter und wahrer Hirt und Lehrer durch Christi Gnade.

Inzwischen wurden aber einer oder auch einige böswillige Menschen um den einstigen Megas Chartophylax Amparis, die damals (dem Klerus) der (Großen) Kirche angehörten, so verwegen und frech, daß sie nicht nur den in frommer Beachtung der heiligen Glaubensgrundsätze ausgestellten Synodaltomos, um den sich der ruhmvolle und frömmste Kaiser, der Vater unseres mächtigen und heiligen Gebieters und Kaisers, als sich jene große Synode in der allergrößten und göttlichsten Kirche der Weisheit des göttlichen Wortes versammelt hatte, in höchstem Maße mühte und, wie alle wissen, um Gottes Lohn keine geringen Anstrengungen auf sich nahm und das, obwohl er damals von der schweren und tödlichen Krankheit, die über ihn hereingebrochen war, hingestreckt war und in den letzten Zügen lag, diesen im Kirchenregister eingetragenen heiligen Synodaltomos (also) herausrissen und beseitigten, sondern auch die in demselbem Register befindlichen Synodalakten vernichteten, wie nunmehr zu sehen ist.

Gemäß der kirchlichen Ordnung und Satzung wurde auf Befehl unseres hochheiligsten Herrn, des ökumenischen Patriarchen selbst, nunmehr wiederum begonnen, in diesem heiligen Register die {schriftlichen} Synodalurkunden einzutragen.

27 τῳτότε] sub litt. ωτ lin. ducta in V || 28 θανατοφόρου MM || 36 post finem documenti dimidia fere pars f. 159r et totum f. 159v scriptura carent in V; post f. 159 unum folium abscissum est

212

Kallistos I. überträgt dem Metropoliten Neophytos von Bizye die Verwaltung des Erzbistums Derkos.

V 47, f. 160ʳ — ⟨Februar/August 1355⟩
MM I 355—356 (Nr. 161) — γράμμα (Z. 28)
PG 152, 1346—1347
Dar. Reg. 2377

160ʳ † Ἐπεὶ ὑπὸ τῆς ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ συγχύσεως παραχωρήσει Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ὑπεχώρησεν ὁ ἱερώτατος μητροπολίτης Βιζύης, ὑπέρτιμος, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κατὰ τὸ εἰκὸς κἀντεῦθεν κατήντησεν εἰς ὅσην δὴ καὶ κατήντησε στενότητα, οὐ δεῖν ἔκρινεν ἡ μετριότης ἡμῶν ἀπρομήθευτον τοῦτον περιιδεῖν· οὐ πρὸς ἡμῶν γὰρ τοῦτο οὐδὲ τοῦ περὶ αὐτὸν πνευματικοῦ φίλτρου.

Ἔνθέν τοι καὶ ἐπειδὴ εὑρίσκεται χηρεύουσα ἤδη ἡ ἁγιωτάτη ἀρχιεπισκοπὴ Δέρκους, ἐπιδί|δωσι ταύτην κατὰ λόγον ἐπιδόσεως ἡ μετριότης ἡμῶν πρὸς τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Βιζύης καὶ ὑπέρτιμον. ἐπιλήψεται τοίνυν οὗτος αὐτῆς καὶ τῶν ὑπ᾽ αὐτὴν πάντων καὶ ἐπαδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ ἀναγνώστας τὲ σφραγίζειν καὶ ὑποδιακόνους καὶ διακόνους ἔτι τε καὶ πρεσβυτέρους ἀπὸ τῶν ὑπ᾽ αὐτὴν χειροτονεῖν καθιερώσεις τὲ ναῶν ποιεῖν καὶ ἁπλῶς πάντα διαπράττεσθαι, ὅσα καὶ ὁ γνήσιος ἀρχιερεύς, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἔστ᾽ ἂν δηλονότι Θεοῦ διδόντος εἰρηνικῆς καταστάσεως ἐπιγενομένης τοῖς πράγμασιν ἐπανέλθῃ καὶ ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Βιζύης καὶ ὑπέρτιμος εἰς τὴν λαχοῦσαν αὐτὸν καὶ διεξάγῃ τὸ καταπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον, ὡς ὁ τοῦ Κυρίου βούλεται νόμος.

Ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς ῥηθείσης ἁγιωτάτης ἐκκλησίας Δέρκους καὶ ὁ ὑπὸ τὴν ἐνορίαν καὶ ἐπικράτειαν αὐτῆς λοιπὸς ἅπας λαὸς ἔχειν εἰς ἑαυτὸν τὸ προσῆκον σέβας καὶ πᾶσαν τιμὴν καὶ εὐπείθειαν, ὅσα καὶ εἰς ἀρχιερέα αὐτῶν πατέρα τὲ καὶ διδάσκαλον, καὶ πείθεσθαι τούτῳ, ἐφ᾽ οἷς ἂν ἔχοι λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς ἀφορῶσιν εἰς ψυχικὴν

---

20 ῥηθείσης] litt. ρ ex. corr. V

212

Sorge des Patriarchen um den aufgrund der politischen Situation nicht an seinem Sitz weilenden Metropoliten von Bizye (1—7). *Übertragung des verwaisten Erzbistums Derkos an den Metropoliten von Bizye als Epidosis* (8—10). *Aufzählung seiner dortigen Rechte* (11—15). *Bei Änderung der Lage Rückkehr in seine angestammte Metropolis* (15 bis 19). *Aufforderung zum Gehorsam an den Klerus und das Volk von Derkos* (20—26). *Ausstellungsvermerk* (27—28).

Da vor der mit Gottes Duldung wegen (unserer) vielen Sünden entstandenen außergewöhnlichen Lage und Verwirrung der heiligste Metropolit von Bizye und Hypertimos, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, naturgemäß zurückwich und daraufhin in die mißliche Lage geriet, in die er eben geriet, befand unsere Bescheidenheit, daß man ihn nicht unversorgt lassen dürfe. Dies widerspräche nämlich uns und auch der geistlichen Liebe zu ihm.

Daher und weil das heiligste Erzbistum Derkos verwaist ist, übergibt unsere Bescheidenheit dieses dem nämlichen heiligsten Metropoliten von Bizye und Hypertimos als Epidosis. Er wird es also und alles diesem Unterstehende übernehmen und Vollmacht haben, in ihm als Priester zu wirken, Anagnosten und Subdiakone zu bestätigen, Diakone und ferner auch Presbyter aus den Reihen der ihr (= dieser Kirche) Angehörenden zu weihen und Einweihungen von Kirchen vorzunehmen und überhaupt alles das zu tun, was auch ein legitimer Erzpriester tut, (freilich) ohne die Einsetzung in das heilige Synthronon; wenn indessen mit Gottes Hilfe Frieden in den Staat einkehrt, möge ebendieser heiligste Metropolit von Bizye und Hypertimos in die Kirche, der er zugeteilt wurde, zurückkehren und die ihm anvertraute geistige Herde, wie das Gesetz des Herrn es will, leiten.

Daher sollen sowohl die Kleriker der genannten heiligsten Kirche von Derkos und das ihrem Sprengel und ihrem Jurisdiktionsbereich angehörende ganze übrige Volk ihm den gebührenden Respekt und jede Ehre und jeglichen Gehorsam erweisen als ihrem Erzpriester, Vater und Lehrer und ihm in allem gehorchen, was er ihnen

αὐτῶν λυσιτέλειαν, οὐδενὸς τῶν ἁπάντων ὀφείλοντος παρεμποδίσαι αὐτῷ ἐπὶ τούτοις ὅλως, κἂν ὅστις ἄρα καὶ ᾖ.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †. ||

25 ὀφείλοντος] litt. ο[1] ex ου corr. V || 28 post finem documenti praesentis tertia fere pars f. 160r scriptura caret in V

213

Kallistos I. fordert den Klerus von Rhodos auf, den neugeweihten Metropoliten Nikodemos freudig aufzunehmen und ihn als legitimen Erzpriester anzuerkennen.

V 47, f. 160v	μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ιης' (Z. 34)
MM I 363—364 (Nr.163/1)	April ⟨1357⟩
PG 152, 1352—1353	(vgl. παρεγγυᾶται [Z. 15])
Dar. Reg. 2398	

160r † Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Ῥόδου, ἀγαπητὰ κατὰ Κύριον τέκνα τῆς ἡμῶν μετριότητος· χάριν, εἰρήνην, ἔλεος, εὐθηνίαν τὲ τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ Θεοῦ παντοκράτορος.

Ἡ μετριότης ἡμῶν ἀναδεξαμένη ἀπὸ τοῦ Θεοῦ τὴν οἰκουμενικὴν τῶν ψυχῶν προστασίαν τῶν ἁπάντων Χριστιανῶν διὰ φροντίδος εἶχε καὶ πρότερον ἐγκαταστῆσαι ἀρχιερέα καὶ ἐπὶ τῇ καθ' ὑμᾶς ταύτῃ ἁγιωτάτῃ μητροπόλει. ἐπεὶ δὲ ἀρτίως κατέλαβεν ἐνταῦθα ὁ ἀρτίως ψηφισθεὶς καὶ χειροτονηθεὶς γνήσιος ἀρχιερεὺς ἐπὶ τῇδε τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ὑπέρτιμος καὶ ἔξαρχος τῶν Κυκλάδων νήσων, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀνὴρ εὐλαβὴς καὶ ἐνάρετος καὶ ἱκανὸς ψυχῶν προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν λόγοις καὶ παραινέσεσι ταῖς προσηκούσαις, καὶ ἰδοὺ σὺν Θεῷ ἔρχεται πρὸς ὑμᾶς.

Παρεγγυᾶται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν ὑποδέξησθε τοῦτον μετὰ περιχαρείας καὶ εὐφρανθῆτε ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ καὶ

5 τοῦ om. MM || 8 κατέλαβεν] litt. εν ex ω corr. V

zum Nutzen ihrer Seelen zu sagen und vorzutragen hat, und niemand von allen, wer auch immer es sei, darf ihn in geringster Weise daran hindern.

Zur diesbezüglichen Sicherung nämlich wurde auch die vorliegende Urkunde unserer Bescheidenheit expediert.

213

Vokativische Anrede der Empfänger (1—2). *Segenswünsche* (2—4). *Sorge des Patriarchen um Einsetzung eines Erzpriesters für die Metropolis Rhodos* (5—8). *Ankunft des neuen Metropoliten und dessen Vorzüge* (8—14). *Aufforderung des Patriarchen an den Klerus, den neuen Erzpriester freudig aufzunehmen, ihm zu gehorchen und sich den Gesetzen der Kirche und den Geboten Gottes gemäß als wahre Christen zu erweisen, um so das ewige Leben zu erlangen* (15—32). *Schlußgruß* (32—33). *Datierung* (34—35).

Frömmste Kleriker der heiligsten Metropolis Rhodos, im Herrn geliebte Kinder unserer Bescheidenheit! Gnade, Frieden, Erbarmen, materiellen Wohlstand und Seelenheil erbittet für Euch unsere Bescheidenheit von Gott, dem Allherrscher.

Unsere Bescheidenheit, die von Gott die ökumenische Leitung der Seelen aller Christen empfangen hat, sorgte sich auch schon früher um die Einsetzung eines Erzpriesters {auch} für diese Eure heiligste Metropolis. Nun ist aber soeben hier der jüngst designierte und für diese heiligste Kirche geweihte legitime Erzpriester eingetroffen, (der) Hypertimos und Exarch der Kykladeninseln, (der) im Herrn geliebte priesterliche Mitbruder unserer Bescheidenheit, ein frommer und tugendhafter Mann und fähig, Seelen zu führen und sie durch Worte und geziemende Ermahnungen zum Heil zu leiten, und siehe, mit Gott kommt er zu Euch.

Unsere Bescheidenheit fordert Euch alle auf, ihn mit großem Frohsinn aufzunehmen und Euch über seine Anwesenheit zu freu-

δέχησθε καὶ σπεύδητε ἐκπληροῦν, ὅσα μέλλει λέγειν καὶ διδάσκειν ὑμᾶς ψυχωφελῆ καὶ σωτήρια, ὑπείκοντες αὐτῷ καὶ πειθαρχοῦντες ὡς οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ καὶ πάντα τρόπον ἐπαγωνιζόμενοι ἀναστρέφεσθαι καὶ πολιτεύεσθαι, ὡς ἁρμόζει χριστιανοῖς ἀνθρώποις κατὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας | Θεοῦ καὶ καθὼς οἱ φιλευσεβεῖς τῶν Χριστιανῶν ἀπαιτοῦσι νόμοι, ἀγάπην ἔχοντες μετ' ἀλλήλων καὶ εἰρήνην, ἐλεημοσύνην καὶ μετάδοσιν πρὸς τοὺς πένητας καὶ τοὺς αἰχμαλώτους, ἐξαγορείαν πρὸς τοὺς πνευματικοὺς πατέρας, τῶν ἐκκλησιαστικῶν συνάξεων καὶ τῶν εἰς Θεὸν ὑμνῳδιῶν μηδαμῶς ἀπολιμπανόμενοι ἐπὶ καθάρσει καὶ ἁγιασμῷ τῶν οἰκείων ψυχῶν καὶ ἁπλῶς εἰπεῖν πάσης μὲν ἀκαθαρσίας ἀπεχόμενοι, πάσης δὲ ἀγαθοεργείας ἀντεχόμενοι, ἐξ ἧς Θεὸς θεραπεύεται καὶ ἀμείβεται πλουσίως τοὺς οἰκείους θεράποντας ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. τοιαύτην γὰρ ἔχοντες τὴν ἀναστροφὴν καὶ Θεῷ εὐαρεστοῦντες κληρονόμοι γενήσεσθε καὶ τῶν αἰωνίων ἀγαθῶν, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ὅλῃ προθέσει ψυχῆς αὐτὸν ἀγαπήσασιν καὶ τὰς σωτηρίους αὐτοῦ φυλάξασιν ἐντολάς, οὗ καὶ ἡ χάρις εἴη μετὰ πάντων ὑμῶν.

Εἶχε τό· *μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ιης'* διὰ τῆς τιμίας δεσποτικῆς ἁγίας πατριαρχικῆς χειρός †.

30—31 κληρονόμοι—ἀγαθῶν] cf. Tit. 3, 7 || 31—32 ἡτοίμασεν—ἐντολάς] cf. 1 Cor. 2, 9; Joh. 14, 15; 1 Joh. 5, 2 (et al.)

29 post γὰρ vocem καὶ suppl. MM || 30 εὐαρεσκοῦντες MM; cf. Matses VI 4 || 31 ἑτοίμασεν MM || 34 post δεσποτικῆς vocem καὶ suppl. MM

214

Kallistos I. und die Synode benachrichtigen Klerus, Beamte, Mönche und Laien der Eparchie der Kykladen von der Einsetzung des neuen Metropoliten Nikodemos von Rhodos und fordern sie auf, ihn als legitimen Erzpriester anzuerkennen.

V 47, f. 160ᵛ—161ʳ	μηνὶ καὶ ἰνδικτιῶνι τοῖς αὐτοῖς (Z. 48;
MM I 364—365 (Nr. 163/2)	vgl. oben, Nr. 213, Z. 34)
PG 152, 1353—1354	⟨April 1357⟩
Dar. Reg. 2399	συνοδικὴ παρακέλευσις (Z. 43—44)

en; nehmt auch an und trachtet zu erfüllen, was er Euch Erbauliches und Heilsames sagen und lehren wird, indem Ihr Euch ihm unterstellt und gehorcht als Eurem Hirten, Vater und geistlichen Lehrer und in jeder Weise darum ringt, Euch (so) zu verhalten und zu leben, wie es für Christenmenschen gemäß den Satzungen der Kirche Gottes angemessen ist und wie es die die Frömmigkeit liebenden Gesetze der Christen verlangen: Übt Liebe und Frieden untereinander, laßt den Armen und Gefangenen Almosen zuteil werden, bekennt den geistlichen Vätern (Eure Sünden) und laßt ja nicht ab von den kirchlichen Versammlungen und Gesängen zu Gott zwecks Reinigung und Heiligung der eigenen Seelen, kurz gesagt, enthaltet Euch jeder Unreinheit, haltet Euch aber an jedes gute Werk, mit dem man Gott dient, vergilt er es doch reichlich seinen Dienern sowohl im jetzigen Leben als auch im zukünftigen. Denn mit einem solchen Gott wohlgefälligen Lebenswandel werdet Ihr auch Erben der ewigen Güter werden, die Gott denen bereitet hat, die ihn mit ganzer Zuneigung der Seele liebten und seine heilsamen Gebote hielten. Seine Gnade sei mit Euch allen!

(Das Original) hatte (die Menologemunterschrift) „Im Monat April der 10. Indiktion“ von der ehrwürdigen heiligen Hand des Herrn Patriarchen.

214

Vokativische Anrede der Empfänger (1—3). *Segenswünsche* (3—4). *Übergriffe des Metropoliten von Kreta und anderer während der Sedisvakanz in Rhodos* (5—9). *Nachricht von der Einsetzung und Ankunft des neuen Metropoliten von Rhodos und dessen Vorzüge* (10—17). *Aufforderung, ihn freundlich aufzunehmen und ihn allein als legitimen Erzpriester anzuerkennen* (18—30). *Androhung der Exkommunikation des Metropoliten von Kreta und anderer im Falle weiterer Übergriffe* (30—36). *Vollmacht für den Metropoliten von Rhodos, auch in anderen vakanten Kirchen Weihen durchzuführen* (36—42). *Aufforderung zum Gehorsam und Segenswunsch* (43—47). *Datierung* (48).

Erwähnte Urkunden und Gesetze:

a) Kanon ⟨Nr. 8 des Konzils von Ephesos; JOANNOU I/1, 63,7—65,15⟩ oder Kanon ⟨Nr. 45 der Apostel*; METZGER III 284, 126—130⟩ (vgl. παρὰ τὴν κανονικὴν παρατήρησιν [Z. 8]; vgl. auch κατὰ τὴν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων παρακέλευσιν καὶ διάταξιν [Z. 29—30]).

† Οἱ εἰς τὴν ἐπαρχίαν καὶ ἐπικράτειαν τῶν Κυκλάδων νήσων εὑρισκόμενοι ἱερωμένοι, ἄρχοντες, μοναχοὶ καὶ λαϊκοί, ἐν Κυρίῳ ἀγαπητὰ τέκνα τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ Θεοῦ.

Οἴδατε, ὡς τῆς ἁγιωτάτης μητροπόλεως Ῥόδου γνησίου ἀμοιρούσης ἀρχιερέως, ἐρημίᾳ τοῦ κωλύοντος, παρεισήρχετο τὸ μέρος τοῦ Κρήτης ἢ καὶ ἕτερός τις καὶ ἐνήργει χειροτονίας διακόνων καὶ ἱερέων, ἔτι δὲ καὶ καθιερώσεις ναῶν παρὰ τὴν κανονικὴν παρατήρησιν ὡς παρ' ἐνορίαν, μὴ ἐνδόσεως οὔσης ἐπὶ τούτοις παρὰ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου. ἀρτίως δὲ γινώσκειν ὑμᾶς βουλόμεθα, ὡς τῇ τοῦ Χριστοῦ χάριτι ἐψηφίσθη καὶ ἐχειροτονήθη ἐπὶ τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει ὁ ἱερώτατος ὅδε μητροπολίτης Ῥόδου, ὑπέρτιμος καὶ ἔξαρχος τῶν Κυκλάδων νήσων, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀνὴρ συνέσει καὶ πνευματικῇ παιδείᾳ καὶ ἀρετῇ κεκοσμημένος καὶ ἱκανὸς ψυχῶν καὶ πραγμάτων προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν τῷ ὑποδείγματι τοῦ θεοφιλοῦς βίου αὐτοῦ, ὅστις καὶ ἔρχεται ἰδοὺ σὺν Θεῷ πρὸς ὑμᾶς.

Παρεγγυᾶται τοίνυν πατρικῶς πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν ὑποδέξησθε τοῦτον μετ' εὐφροσύνης κατὰ τὸ χρέος, ὅπερ | ἔχετε ἀπὸ τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων, καὶ ἀπονέμητε τούτῳ κατὰ τὴν περικειμένην αὐτῷ ἀρχιερατικὴν ἀξίαν παντοίαν αἰδῶ καὶ τιμὴν καὶ δέχησθε καὶ σπεύδητε ἐκπληροῦν, ὅσα μέλλει λέγειν καὶ διδάσκειν ὑμᾶς ἀφορῶντα εἰς ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν, καὶ ἐφ' οἷς ἂν δεήσῃ προβαίνειν χειροτονίας ἱερέων, διακόνων, ἀλλὰ δὴ καὶ καθιερώσεις ναῶν, τοῦτον μόνον δέχησθε ἐκτελοῦντα ταῦτα ὡς γνήσιον ἀρχιερέα ὑμῶν καὶ πατέρα πνευματικὸν καὶ διδάσκαλον, ἐπειδὴ καὶ αὗται αἱ Κυκλάδες νῆσοι ὑπὸ τὴν αὐτοῦ ἐπικράτειαν εὑρίσκονται καὶ ἐφορείαν,

6 ἐρημίᾳ τοῦ κωλύοντος] cf. linn. 6—7 documenti 9 huius editionis || 10—19 cf. linn. 8—16 documenti praecedentis

Priester, Beamte, Mönche und Laien in der Kirchenprovinz und im Jurisdiktionsbereich der Kykladeninseln, im Herrn geliebte Kinder unserer Bescheidenheit! Gnade und Friede von Gott seien mit Euch!

Da die heiligste Metropolis Rhodos keinen legitimen Erzpriester hatte, machte sich, wie Ihr wißt, ein Beauftragter des (Metropoliten) von Kreta breit oder auch ein anderer, ohne daß ihn jemand hinderte, und führte Weihen von Diakonen und Priestern, überdies aber auch Einweihungen von Kirchen durch, unter Mißachtung der Kanones sowie (der) Sprengel(grenzen), zumal es ja seitens unserer heiligen und göttlichen Synode dafür keinerlei Erlaubnis gab. Nunmehr aber wollen wir Euch in Kenntnis setzen, daß durch die Gnade Christi für die genannte heiligste Metropolis dieser heiligste Metropolit von Rhodos designiert und geweiht worden ist, (der) Hypertimos und Exarch der Kykladeninseln, im Heiligen Geist geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, ein Mann, geschmückt mit Einsicht, geistlicher Bildung und Tugend und fähig, Seelen und Angelegenheiten zu leiten und sie (= die Seelen) durch das Vorbild seines gottgefälligen Lebens zum Heil zu führen. Und siehe, dieser kommt mit Gott zu Euch.

Daher fordert unsere Bescheidenheit Euch alle väterlich auf, diesen mit Freude aufzunehmen gemäß der Pflicht, die Ihr durch die heiligen Kanones und die die Frömmigkeit liebenden Gesetze habt, und ihm entsprechend der Würde, die ihn als Erzpriester umgibt, jede ehrfürchtige Scheu zu erweisen; nehmt auch an und trachtet zu erfüllen, was er Euch zum Nutzen Eurer Seelen sagen und lehren wird; und für den Fall, daß Weihen von Priestern (und) Diakonen, aber auch Einweihungen von Kirchen stattfinden sollen, nehmt nur ihn bei der Ausführung dieser (Weihen) als Euren legitimen Erzpriester und geistlichen Vater und Lehrer an, weil ja auch diese Kykladeninseln unter seinem Jurisdiktionsbereich und seiner Aufsicht ste-

1 in marg. ἕτ]ερον scripsit V || 7 καὶ[2]] supra lin. litt. δι scripsit V || 23 οἷς V; an ἃς scribendum?

τοὺς δὲ ἄλλους πάντας ἀπωθῆσθε καὶ ἀποπέμπητε, ὡς μηδεμίαν μηδαμῶς ἔχοντας ἐπὶ τούτοις ἄδειαν || *161r* κατὰ τὴν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων παρακέλευσιν καὶ διάταξιν. οὐ μὴν ἀλλὰ καὶ εἴπερ πειραθεῖεν ἴσως τινὲς ἢ τῶν τοῦ μέρους τοῦ Κρήτης ἢ ἕτερός τις παρεισέρχεσθαι αὐτόθι καὶ ἐνεργεῖν τὶ ἀρχιερατικὸν ἢ ἄλλό τι ἀπὸ τῶν ἀνωτέρω κατὰ μέρος εἰρημένων ἐπὶ περιφρονήσει τοῦδε τοῦ ἱερωτάτου ἀρχιερέως καὶ ὑπερτίμου, ἐπεὶ ὑπὸ τὴν κανονικὴν εὐθύνην καὶ αὐστηρίαν εἰσί, καὶ ἡ μετριότης ἡμῶν συνάμα τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ ὑπὸ βάρος ἀφορισμοῦ ἐν ἁγίῳ πνεύματι τοὺς τοιούτους ποιούμεθα. ἀλλὰ καὶ εἴπερ ἀπὸ ἑτέρας ἐκκλησίας χηρευούσης καὶ μὴ ὑποκειμένης ἑτέρῳ ἀρχιερεῖ μηδὲ κατὰ λόγον ἐπιδόσεως δοθείσης τινὶ βούλοιντο τινὲς χειροτονίας δέξασθαι διακόνων καὶ ἱερέων ἔτι τὲ καὶ καθιερώσεις ναῶν ποιεῖσθαι, διδόαμεν ἄδειαν ἤδη καὶ ἐκχωροῦμεν τῷ αὐτῷ ἱερωτάτῳ μητροπολίτῃ Ῥόδου καὶ ὑπερτίμῳ ἐκτελεῖν καὶ ταῦτα πάντα ἀπροκριματίστως καὶ ἀκωλύτως.

Ἐπεὶ γοῦν κατελάβετε τὴν περὶ τούτου ἡμετέραν καὶ συνοδικὴν παρακέλευσιν, ὀφείλετε εὐγνωμονεῖν καὶ ἐκτουαπεντεῦθεν ἀποπληροῦν, καθάπερ παρεγγυῶμεν καὶ ἐπισκήπτομεν, ἵν' οὕτω καὶ ἡ τοῦ Θεοῦ χάρις διαφυλάξαι ὑμᾶς ἀβλαβεῖς καὶ ψυχῇ καὶ σώματι καὶ ἀνωτέρους παντὸς ἀνιαροῦ συναντήματος.

Μηνὶ καὶ ἰνδικτιῶνι τοῖς αὐτοῖς διὰ τῆς αὐτοῦ τιμίας χειρός †. ||

---

31 τοῦ[2]] τῆς MM || 32 καὶ om. MM || 35 τῇ] τοῖς MM || 43 περὶ] ἐπὶ MM || 44 ἐκτουαπεντεῦθεν] sub litt. τουα lin. ducta in V || 46 ἀνωτέρους] ἀνώτερον MM || 48 αὐτοῦ] αὐτῆς MM | post finem documenti dimidia fere pars f. 161r et totum f. 161v scriptura carent in V

215

Kallistos I. und die Synode erklären den Metropoliten Symeon von Alania für abgesetzt und exkommunizieren ihn.

V 47, f. 162r—163v
MM I 356—363 (Nr. 162)

μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ἐνάτης (Z. 238)
Juli ⟨1356⟩

hen, alle anderen aber weist entschieden zurück, da sie gemäß dem Befehl und der Anordnung ebendieser heiligen und göttlichen Kanones nicht die geringste Befugnis dafür haben. Sollten aber vielleicht dennoch irgendwelche — seien es Beauftragte (des Metropoliten) von Kreta, sei es irgendein anderer — versuchen, sich hier breitzumachen (und) unter Mißachtung dieses heiligsten Erzpriesters und Hypertimos irgendeine erzpriesterliche (Tätigkeit) oder auch etwas anderes von dem oben im einzelnen Gesagten auszuüben, (dann) unterwerfen auch wir, unsere Bescheidenheit gemeinsam mit unserer heiligen und göttlichen Synode, diese der schweren Strafe der Exkommunikation im Heiligen Geiste, da sie der strengen kanonischen Maßregelung unterliegen. Wenn aber auch irgendwelche aus einer anderen Kirche, die vakant ist und keinem anderen Erzpriester untersteht, aber auch niemandem als Epidosis verliehen worden ist, Weihen zu Diakonen und Priestern zu empfangen wünschen und ferner auch, daß Einweihungen von Kirchen durchgeführt werden, so geben wir nunmehr die Vollmacht und gestatten es ebendiesem heiligsten Metropoliten von Rhodos und Hypertimos, auch all das ohne weitere Einwände und ungehindert auszuführen.

Da Ihr nun den diesbezüglichen Befehl von uns und der Synode erhalten habt, sollt Ihr wohlgesinnt sein und von nun an erfüllen, wozu wir (Euch) mit Nachdruck verpflichten, damit Euch so auch die Gnade Gottes ohne Schaden für Seele und Leib und erhaben über jede lästige Heimsuchung bewahre.

Im selben Monat und in derselben Indiktion von der ehrwürdigen Hand desselben.

215

Überschrift (1). *Streitigkeiten dreier Geistlicher aus Tanaïs mit dem Metropoliten Symeon von Alania über die ihnen zustehenden kirchlichen Rechte* (2—7). *Rechtshilfeersuchen der Geistlichen an Patriarch Isidoros I.* (8—12). *Verhandlung vor dem Synodalgericht und Entscheidung zugunsten der Geistlichen* (12—21). *Mißachtung der Syn-*

PG 152, 1347—1352 ἔγγραφος ... συνοδικὴ ἀπόφασις εἰς
DAR. Reg. 2392 καθαίρεσιν (Z. 234—235) (vgl. καθαίρεσις συνοδική [Z. 1])

Erwähnte Urkunden und Gesetze:

a) Synodalurteil des Patriarchen Isidoros I. ⟨vor 1350; DAR. Reg. 2308⟩: Bestätigung der angestammten Rechte des Protopapas Michael, des Priesters Nikolaos und des Priesters Theodoros (ψήφισμα συνοδικόν: Z. 17; συνοδικὴ ... ἔγγραφος διάγνωσις καὶ ἀπόφασις: Z. 24—25; συνοδικὴ ... διάγνωσίς τε καὶ ἀπόφασις: Z. 30; συνοδικαὶ ψῆφοι καὶ ἀποφάσεις: Z. 36—37; vgl. auch συνοδικοῦ δικαστηρίου πολλάκις καὶ διαφόρως συγκροτηθέντος [Z. 13], τῶν ἐψηφισμένων συνοδικῶς [Z. 26] und διαφόρως ἐξηλέγχετο συνοδικῶς [Z. 177])
b) Privilegienurkunde (jarlïy) des Chans ⟨der Mongolen, Ǧambek I.⟩ für den Metropoliten von Alania ⟨Symeon⟩ (διαλείχιον: Z. 31)
c) schriftliche Eingabe der unter a) genannten Geistlichen an den Patriarchen Philotheos ⟨Kokkinos⟩ (vgl. ἐνεγκόντες ἐγγράφως ἀναφέρουσι [Z. 46—47])
d) synodale Untersuchung der Machenschaften des Metropoliten von Alania ⟨Symeon; Herbst 1354; DAR. Reg. 2369⟩ (vgl. συνοδικῶς [Z. 47, 58 und 89] und διαφόρως ἐξηλέγχετο συνοδικῶς [Z. 177]) (schriftliche Ausfertigung wohl durch den Sturz des Philotheos Kokkinos unterblieben, vgl. Niceph. Greg., Hist. XXXVII 7: ὑπέρθεσιν καιρικὴν ἡ ψῆφος λαμβάνει [III 532, 19—20 BEKKER])
e) Notitiae episcopatuum (nicht näher definiert) (κανονικαὶ βίβλοι [Z. 69—70])
f) Kanon ⟨Nr. 18 der Apostel*; METZGER III 280, 63—65⟩: Verbot, einen mit einer Witwe Verheirateten zum Priester zu weihen (οἱ θεῖοι καὶ ἱεροὶ κανόνες: Z. 85)
g) synodale Genehmigung ⟨etwa April 1355; DAR. Reg. 2379⟩, die dem Metropoliten ⟨Symeon⟩ von Alania gewährt, sich in seine Metropolis zu begeben, während das Verfahren gegen ihn vor der Synode im Gange ist (ἐνδόσιμον: Z. 121)
h) schriftliches Versprechen des Metropoliten ⟨Symeon⟩ von Alania, innerhalb des Monats Oktober ⟨des Jahres 1355⟩ zur Verhandlung der übrigen Anschuldigungen gegen ihn vor der Synode zu erscheinen (καθυποσχόμενος δι' οἰκειοχείρου γράμματος αὐτοῦ καὶ ἰδίᾳ ὑπογραφῇ πεπιστωμένου: Z. 122 bis 123; ὑπόσχεσις: Z. 127 und 144; ἔγγραφος ὑπόσχεσις: Z. 162—163; τὰ ἐγγράφως ὑπεσχημένα: Z. 166—167; ἡ οἰκειόχειρος αὐτοῦ ἔγγραφος ὑπόσχεσις καὶ ὑπογραφή: Z. 188—189; vgl. auch ἐπηγγέλλετο ἐγγράφως [Z. 178])
i) Ladung der unter a) genannten Ankläger des Metropoliten von Alania ⟨etwa April 1355; DAR. Reg. 2380⟩ (vgl. μετακληθέντων [Z. 126])
j) mehrere Synodalschreiben ⟨zwischen November 1355 und April 1356; DAR. Reg. 2383⟩ mit der Aufforderung an den Metropoliten von Alania, vor der Synode zu erscheinen und sich gegen Anschuldigungen zu verantworten (συνοδικὰ ψηφίσματα: Z. 130, 170, 179 und 191)
k) Synodalbeschluß ⟨vor April 1356; fehlt bei DAR. Reg.⟩: Androhung der Exkommunikation des Metropoliten von Alania bei fortgesetzter Weigerung, vor der Synode zu erscheinen (συνοδικὸν ψήφισμα: Z. 139)

odalentscheidung seitens des Metropoliten von Alania, der sich um Unterstützung an den Chan wendet (22—33). *Schriftliche Mitteilung der Geistlichen über die Vergehen des Metropoliten von Alania an den Patriarchen Philotheos Kokkinos und die Synode* (34—48). *Aufgrund von Zeugenaussagen von konstantinopolitanischen Kaufleuten synodale Behandlung der Anschuldigungen gegen den Metropoliten von Alania, insbesondere der ihm angelasteten Weihe eines Bischofs in der Metropolis der Kaukasier* (49—68). *Synodale Feststellung der Unrichtigkeit der vom Beschuldigten vorgebrachten Behauptung, es gebe in seiner Metropolis ein Bistum Kaukasia* (69—77). *Unkanonische Absetzung des in der Metropolis der Kaukasier zum Bischof Geweihten durch den Metropoliten von Alania nach der Weihe eines mit einer Witwe Vermählten zum Priester durch diesen Bischof sowie ebenfalls widerrechtliche Wiederaufnahme der Gemeinschaft mit jenem Bischof* (78—90). *Diesbezügliches Geständnis des Metropoliten von Alania* (91—103). *Rückkehr des Kaisers Ioannes V. Palaiologos und des Patriarchen Kallistos I.* (104—111). *Abwesenheit der Ankläger* (112 bis 113). *Übertritt des Bruders des Metropoliten von Alania zum Islam* (113—118). *Bitte des Metropoliten von Alania um die Erlaubnis, sich während des laufenden Verfahrens in seine Metropolis zu begeben, um seinen Bruder zu bekehren* (118—121). *Versprechen des Metropoliten von Alania, bis Ende Oktober (1355) vor der Synode zu erscheinen* (122—126). *Synodale Aufforderungen an den Metropoliten von Alania, vor der Synode zu erscheinen, unter Gewährung einer Fristerstreckung bis Ende April des laufenden Jahres* (127—138). *Synodale Androhung der Exkommunikation, falls er sich weiterhin weigere, vor der Synode zu erscheinen* (139—147). *Sorge um den Bruder ein Vorwand, das Versprechen eine Lüge* (148—164). *Mißachtung der Synodalbeschlüsse und hinhaltende Ausflüchte des Angeklagten* (165 bis 183). *Kanonische und gesetzliche Bestimmungen, gegen die sein Verhalten verstößt* (184—200). *Verstoß gegen diese Vorschriften, aber auch gegen seine ausdrückliche diesbezügliche Verpflichtungserklärung anläßlich seiner Weihe zum Metropoliten* (201—209). *Weitere eingestandene und bezeugte, jedoch nicht spezifizierte Vergehen gegen Kanones* (210—214). *Der Metropolit von Alania ist der Verzeihung unwürdig* (215—220). *Synodaler Absetzungsbeschluß mit synodaler Präsenzliste* (221—232). *Ausstellungsvermerk* (233—237). *Datierung* (238).

l) Kanon ⟨Nr. 74 der Apostel*; Metzger III 302, 331—340⟩: Bestimmungen betreffend die Ladung eines angeklagten Bischofs (οἱ θεῖοι καὶ ἱεροὶ κανόνες: Z. 143 und 166; vgl. auch κατὰ τὴν κανονικὴν διάταξιν [Z. 169—170] bzw. τῶν ... θείων κανονικῶν διατάξεων [Z. 190])

m) Kanon Nr. 13 des Konzils von Karthago (Joannou I/2, 227, 4—7) (ὁ ιγ′ κανὼν τῆς ἐν Καρχηδόνι συνόδου: Z. 185) (vgl. Testimonienapparat zu Z. 186—187)

n) Kanon Nr. 35 der Apostel* (Metzger III 284, 126—130) (ὁ ἀποστολικὸς λε′ κανών: Z. 193) (vgl. Testimonienapparat zu Z. 194—197)

o) Gesetz (nicht identifiziert) (ὁ ἐν ὑπερορίᾳ χειροτονῶν ἢ καὶ ἕτερόν τι παρὰ τὸ καθῆκον ποιῶν ἀγανακτεῖται καὶ ἀφορίζεται: Z. 198—200) (οἱ φιλευσεβεῖς νόμοι: Z. 198)

p) schriftliche Verpflichtungserklärung des Metropoliten ⟨Symeon⟩ von Alania bei seiner Weihe, die patriarchalen Rechte zu achten (ἡ ἑτέρα τούτου ὁμολογία ἔγγραφος: Z. 206—207; vgl. auch οἰκειοχείρως ἐγγραψάμενος [Z. 207—208])

q) Register ⟨des Patriarchats von Konstantinopel⟩ (τὰ ἱερὰ κωδίκια: Z. 235).

162r

† Καθαίρεσις συνοδικὴ τοῦ ποτὲ Ἀλανίας

† Φθάνουσι πρό τινων ἤδη χρόνων οἱ Ταναῗται θεοσεβέστατοι ἱερεῖς, ὅ τε πρωτοπαπᾶς Μιχαήλ, ὁ πρεσβύτερος Νικόλαος καὶ ὁ λοιπὸς μετ᾽ αὐτῶν πρεσβύτερος ὁ Θεόδωρος, εἰς τὰς μετὰ τοῦ ποτὲ Ἀλανίας ἐμπεσόντες οὐκ ὀλίγας ἀμφισβητήσεις καὶ διενέξεις ὡς ἀποστερούμενοι παρ᾽ αὐτοῦ, καθάπερ διισχυρίζοντο, τῶν ἀνέκαθεν προσηκόντων καὶ ἀνηκόντων αὐτοῖς ἐκκλησιαστικῶν δικαίων.

Ἔνθέν τοι καὶ ἐπεὶ ἱκεσίᾳ πολλῇ πρότερον χρησάμενοι πρὸς αὐτὸν τούτων ἕνεκα οὐδόλως ἴσχυσαν μεταπεῖσαι τῆς πλεονεκτικῆς καὶ φιλονείκου γνώμης καὶ μὴ ἐπιπλέον δυνάμενοι φέρειν τὴν ἀδικίαν, ἀνατρέχουσι τηνικαῦτα εἰς τὸν ἁγιώτατον πατριάρχην, κῦρ Ἠσίδωρον ἐκεῖνον, καὶ τὰ περὶ τούτου περιπαθῶς ἀναγγέλλουσιν, ὅτε δὴ καὶ συνοδικοῦ δικαστηρίου πολ|λάκις καὶ διαφόρως συγκροτηθέντος, συμπαρόντος καὶ τοῦ ἀντικαθισταμένου αὐτοῖς τοιούτου Ἀλανίας, ἐπεὶ διαρρήδην ἀνεφάνησαν οἱ τοιοῦτοι πρεσβύτεροι μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἄδικα πάσχοντες παρ᾽ αὐτοῦ καὶ τῶν ἰδίων ἀποστερούμενοι, οὐχ ὑγιαινούσῃ γνώμῃ, ψήφισμα συνοδικὸν ἐξήνεγκον τοῦδε τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Ἠσιδώρου δικαιοῦν αὐτούς, ὥστε ἀπολαύειν

---

2 Ταναῖται V || 10 ἐπιπλέον] sub litt. ιπ lin. ducta in V || 11 Ἰσίδωρον MM (v. etiam lin. 18) || 17 ἐξενήνεκον V; ἐξήνεγκον scripsimus cum MM

Das Urteil gegen Symeon von Alania wurde ca. 1360, nachdem dieser vor dem Kaiser dagegen berufen hatte, aufgehoben, und Symeon unter Philotheos Kokkinos 1364 in seinen Rechten bestätigt (vgl. MM I 477—478; A. Failler, Une réfutation de Balsamon par Nil Kabasilas. *REB* 32 [1974] 211—223). Die Schilderung der Affäre um den Metropoliten Symeon von Alania bei Nikephoros Gregoras (Hist. XXXVII 7—12 [III 532—535 Bekker]) weicht in einigen Punkten von der Darstellung in der vorliegenden Urkunde erheblich ab.

Synodale (Amts)enthebung des seinerzeitigen (Metropoliten) von Alania

Schon vor einigen Jahren gerieten die frömmsten Priester aus Tanaïs, der Protopapas Michael, der Priester Nikolaos und schließlich, zusammen mit ihnen, der Priester Theodoros, in {die} nicht wenige{n} Streitigkeiten und Zwistigkeiten mit dem ehemaligen (Metropoliten) von Alania. Wie sie versicherten, seien sie nämlich von ihm ihrer ihnen von jeher zustehenden und zukommenden kirchlichen Rechte beraubt worden.

Als diese (den Metropoliten) trotz der vielen Bitten, die sie seinerzeit deswegen an ihn richteten, überhaupt nicht von seiner habgierigen und streitsüchtigen Haltung abbringen und die Ungerechtigkeit nicht länger ertragen konnten, begaben sie sich infolgedessen damals zum heiligsten Pariarchen, dem verstorbenen Herrn Isidoros, und berichteten erregt seinen Fall. Damals trat das Synodalgericht oft und verschiedentlich zusammen, und auch ebendieser (Metropolit) von Alania, der ihnen entgegentrat, war anwesend; da erreichten diese Priester, weil es sich nach umfangreicher und eingehender Untersuchung deutlich gezeigt hatte, daß sie von seiner Seite aufgrund seiner krankhaften Haltung Unrecht erlitten hatten und ihrer (Rechte) beraubt worden waren, eine synodale Entscheidung dieses heiligsten Patriarchen, Herrn Isidoros, die sie

ὡς τοπρότερον ἐκ τουαπεντεῦθεν τῶν διαφερόντων αὐτοῖς ἄνωθεν τοιούτων ἐκκλησιαστικῶν δικαίων κατὰ τὴν ἐπικρατήσασαν κατὰ τὸν ἐκεῖσε τόπον τάξιν τὲ καὶ συνήθειαν.

Ἀλλ' ὁ δηλωθεὶς Ἀλανίας, καίτοι δόξας σπείσασθαι δῆθεν αὐτοῖς, ἀποσχόμενος τῆς ἐριστικῆς γνώμης αὐτοῦ καὶ πλεονεκτικῆς καὶ στέργων, ὡς καθυπεκρίνετο τὸν καιρόν, τῇ συνοδικῇ ταύτῃ ἐγγράφῳ διαγνώσει καὶ ἀποφάσει, ὡς μόνον ἔφθασεν ἀποδημήσας ἀπὸ τῶν ἐνταῦθα, μικρὰ φροντίσας τῶν ἐψηφισμένων συνοδικῶς ἀθετητὴς τούτων ἐγένετο. αὐτίκα τοίνυν, ὥσπερ ἐπιλελησμένος τοῦ κατ' αὐτὸν σχήματος, ἐπαναστὰς καὶ ἀπαναισχυντήσας πρὸς τὸν χάνην ἀπῄει, ἀμυντικῶς διακείμενος κατὰ τῶν ἱερέων ὡς οὐ χρεὼν ἄδικα πασχόντων, ἐπὶ ἀνατροπῇ καὶ καταλύσει τῆς συνοδικῆς ταύτης διαγνώσεώς τε καὶ ἀποφάσεως, ὅτε δὴ καὶ τὸ λεγόμενον διαλείχιον ἐκεῖθεν λαβών, ἅτε δὴ τῇ ἐκκλησίᾳ μὴ ὑποκεῖσθαι βουλόμενος, οὐκ ὀλίγα ἐπικίνδυνα καὶ κακωτικὰ καὶ ἐπιζήμια τοῖς τοιούτοις ἱερεῦσιν ἐπήνεγκεν, ὡς μὴ ὤφελεν.

Ἔφερον μὲν οὖν οὗτοι, καίτοι τὰ δεινότατα ὑπ' αὐτοῦ πάσχοντες, παρακαλοῦντες, δεόμενοι καὶ τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ προσδοκῶντες μεταβολήν. ἐπεὶ δὲ εἶδον αὐτὸν προδήλως μὲν καὶ τὰς συνοδικὰς ψήφους καὶ ἀποφάσεις περιφρονοῦντα καὶ ἀθετοῦντα καὶ παρουδὲν ταύτας ποιούμενον, οὐ μὴν δὲ ἀλλὰ καὶ ἐπὶ τοσοῦτον τοῦ καθήκοντος ἐκτραπόμενον, ὡς καὶ τοὺς ἐκεῖσε πανσέπτους καὶ θείους ναοὺς κατακλείειν σὺν οὐδεμιᾷ τινι εὐλόγῳ προφάσει καὶ τοὺς ἱερεῖς τοῦ ἱερουργεῖν ἀδίκως ἐπέχειν — κατὰ γὰρ τὸν καιρὸν ἐκεῖνον δύο χριστιανοὺς ἀνθρώπους τεθνηκότας διὰ τὴν παράλογον αὐτοῦ τῶν ἱερέων ἐπίσχεσιν, οὐ σὺν δίκῃ ἐπαχθεῖσαν, παρεσκεύασεν ἀψάλτους ἐναπομεῖναι καὶ μὴ τῶν νενομισμένων ἐπιτυχεῖν· οὐ μὴν δὲ ἀλλὰ καὶ δύο τινὰ βρέφη ἐκ προγόνων εὐσεβῆ τὴν τοῦ γένους σειρὰν ἕλκοντα παραίτιος ἐγένετο, ὡς οὐ θέμις, βαπτισθῆναι εἰς τὴν ἐκκλησίαν τῶν Ἀρμενίων —, μηκέτι ἐνεγκόντες ἐγγράφως ἀναφέρουσι καὶ πρότερον τὰ περὶ τούτου συνοδικῶς ἐπὶ τοῦ χρηματίσαντος κῦρ Φιλοθέου.

Μετὰ | μέντοι παραδρομὴν οὐκ ὀλίγου καιροῦ ἀρχόντων τινῶν, πραγματευτῶν καὶ ἀπὸ τῶν ἐποίκων πολιτῶν τῆς θεοδοξάστου, θεοφυ-

19 τοπρότερον] sub litt. οπ lin. ducta in V | τουαπεντεῦθεν] sub litt. ουαπ lin. ducta in V || 22 πείσασθαι MM || 28 ἐπαναισχυντήσας MM || 38 δὲ] δὴ MM || 44 δὲ] δὴ MM | εὐσεβῆ] litt. ε[1] ex corr. V

berechtigte, so wie früher von nun an ihre ihnen von jeher zukommenden kirchlichen Rechte entsprechend der in dieser Gegend geltenden Ordnung und Gewohnheit zu genießen.

Obwohl der genannte (Metropolit) von Alania aber scheinbar mit ihnen Frieden schloß, von seiner streitsüchtigen und habgierigen Haltung abrückte und auch, wie er damals heuchelte, die damalige synodale schriftliche Entscheidung anerkannte, achtete er dennoch die Synodalentscheidung gering, sobald er nur erst von hier abgereist war, und hielt sich nicht mehr daran. Wie wenn er seine Stellung vergessen hätte, begab er sich sogleich in schamloser Auflehnung weg zum Chan, um diese Synodalentscheidung zu verwerfen und aufzulösen und um sich so gegen die Priester zu wehren, die, was nicht hätte sein dürfen, Unrecht erlitten. Indem er überdies das sogenannte „Dialeichion" (= Jarlik[1]) von dort erhalten hatte, weil er der Kirche nicht unterstehen wollte, brachte er diesen Priestern nicht wenige Gefahren, Mißhandlungen und Schäden, was nicht hätte sein dürfen.

Diese ertrugen es, obwohl sie das Ärgste von ihm erlitten, baten ihn flehentlich und hofften auf seine Veränderung zum Besseren. Als sie aber sahen, daß dieser offensichtlich nicht nur die Synodalentscheidungen mißachtete, verwarf und sie als nichts erachtete, sondern sich sogar so weit von seiner Pflicht abgewendet hatte, daß er auch die dortigen hochverehrungswürdigen göttlichen Kirchen ohne einsichtigen Grund schließen ließ und die Priester rechtswidrig an der Ausübung ihrer gottesdiestlichen Pflichten hinderte — damals waren nämlich zwei Christen verstorben; durch seine widersinnige Behinderung der Priester, die er rechtswidrig verfügte, bewirkte er, daß jene ohne liturgische Gesänge blieben und nicht der üblichen (Begräbnisfeierlichkeiten) teilhaftig wurden; aber auch bei zwei Säuglingen, die aus seit Generationen frommen Familien stammten, verursachte er, daß sie, was nicht dem Recht entspricht, in der Kirche der Armenier getauft wurden —, da ertrugen sie es nicht mehr und brachten bereits früher seinen Fall schriftlich vor die Synode unter dem ehemaligen (Patriarchen), Herrn Philotheos.

Nicht wenig Zeit war vergangen, als einige angesehene Persönlichkeiten, Kaufleute und in der gottgepriesenen, gottgeschützten

[1] Zur Identifizierung des Dialeichion mit Jarlik siehe M. Hinterberger, Die Bezeichnung für eine mongolische Urkunde im Patriarchatsregister von Konstantinopel: διαλείχιον–jarlïy. *JÖB* 49 (1999) 177—180.

λάκτου καὶ θεομεγαλύντου Κωνσταντινουπόλεως ἐξέθους κατὰ τὸν ἐκεῖσε τόπον ἀφικνουμένων, ἐχόντων ἐκ τοῦ τρόπου καὶ τῆς συνειδήσεως τὸ ἀξιόπιστον καὶ ἐγνωσμένων ὄντων εἰς τοῦτο τοῖς πᾶσι σχεδόν, τοῦ τε κῦρ Κωνσταντίνου δηλαδὴ τοῦ Ἀγαπητοῦ, τοῦ αὐταδέλφου αὐτοῦ Ἀγαπητοῦ, τοῦ ἀπὸ τῶν Πηγαϊτῶν Σγουροπούλου, τοῦ Μονεμβασιώτου καὶ ἑτέρων, ἐν εἰδήσει καὶ πείρᾳ γενομένων καὶ αὐτοψεὶ ἰδόντων τὰς ἀπειρημένας ταύτας καὶ παρανόμους πράξεις αὐτοῦ καὶ τὸν προσήκοντα ζῆλον ἐντεῦθεν ἀναλαβόντων καὶ συνοδικῶς τῳτότε παραγενομένων, συμπαρόντος καὶ συνεδριάζοντος καὶ αὐτοῦ δὴ τοῦ Ἀλανίας, κεκίνηται ἀκριβῶς καὶ τὰ κατ' αὐτοῦ αἰτιάματα καὶ ἐγκλήματα ἐπὶ τῆς θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων καί, ὅπως ἀνερυθριάστως ἀπετόλμησε καὶ ἐχειροτόνησεν ἐπίσκοπον εἰς τὴν τῶν Καυκασίων μητρόπολιν, συνηριθμημένην ἄνωθεν τῇ ἱερᾷ συνόδῳ καὶ τῇ πατριαρχικῇ ἐφορείᾳ καὶ ἀνακρίσει ὑποκειμένην καὶ ὑπὸ τὴν καθ' ἡμᾶς
162v τελοῦσαν ἁγιωτάτην καθολικὴν καὶ ἀποστολικὴν || ἐκκλησίαν, εἰ καὶ σοφιστικῶς ἐπειρᾶτο συμπλάττειν τὲ καὶ λανθάνειν, σκηπτόμενος ἑτέραν μὲν εἶναι τὴν τῶν Καυκασίων συνοδικὴν ταύτην μητρόπολιν, ἄλλην δὲ τυγχάνειν ἐπισκοπὴν ὑπ' αὐτόν, τὴν οὕτω πως λεγομένην Καυκασίαν.

Ἐξετάσεως γάρ, καθάπερ ἐχρῆν, ἀκριβοῦς γενομένης καὶ τῶν κανονικῶν βίβλων προτεθειμένων εἰς μέσον καὶ τῆς ἀπαριθμήσεως γεγονυίας λελογισμένως τῶν τε ἑκασταχοῦ μητροπόλεων καὶ τῶν ὑποκειμένων ταύταις ἐπισκοπῶν κατὰ τὴν ἐκ παλαιοῦ ἐπικρατήσασαν τάξιν καὶ ὑποτύπωσιν εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν οὐδεμία τὶς εὕρηται ἐπισκοπὴ εὑρισκομένη ὑπὸ τὴν Ἀλανίας ἡ Καυκασία λεγομένη, ὡς αὐτὸς προφασιζόμενος ἔλεγεν, ἀλλὰ μόνον εὕρηται ταῖς ἀληθείαις μητρόπολις ἡ τῶν Καυκασίων ἄνωθεν ταῖς συνοδικαῖς μητροπόλεσι συνηριθμημένη κατὰ τὸν ἀναγεγραμμένον τρόπον.

Ὡσαύτως ἐκινήθη καὶ ἀπηλέγχθη ἀριδήλως καί, ὅπως τὸν ἐπίσκοπον, ὅντινα δήπου παρανόμως καὶ ἀκανονίστως ἐχειροτόνησεν εἰς τὴν ἁγιωτάτην μητρόπολιν Καυκασίων, συνοδικὴν οὖσαν, χειροτονήσαντα τὸν τοιοῦτον καὶ προβιβάσαντα εἰς ἱερέα τινὰ ἀθέσμως, ἅτε δὴ συναφθέντα γυναικὶ ἐξ ἑτέρου οὔσῃ ἀνδρὸς καὶ χηρευούσῃ καὶ εἰς

55 Σγουροπούλου difficulter legitur in V || 58 τῳτότε] sub litt. ωτ lin. ducta in V || 62 ἐπεχειροτόνησεν MM || 75 ἡ τῶν] ἡμῶν MM || 81 εἰς supra lin. scripsit V

und gotterhöhten (Stadt) Konstantinopel ansässige Bürger, die üblicherweise dorhin kommen, Personen, die nach ihrem Lebenswandel und Gewissen Vertrauen verdienen und die fast allen dafür bekannt sind, nämlich Herr Konstantinos Agapetos sowie sein leiblicher Bruder Agapetos, weiters Sguropulos von den Pegaïten, Monembasiotes und andere, überprüfbare Kenntnis von diesen seinen verbotenen und ungesetzlichen Handlungen erhielten und diese mit eigenen Augen sahen. Sie ergriffen daraufhin die geziemende Initiative und erschienen damals vor der Synode. Anwesend war auch als Beisitzer der Synode dieser (Metropolit) von Alania. Da wurden vor der göttlichen und heiligen Synode der heiligsten Erzpriester und Hypertimoi sowohl die Beschuldigungen und Anklagen gegen ihn im Detail erhoben, sowie daß er es schamlos gewagt habe, einen Bischof für die Metropolis der Kaukasier zu weihen, die seit jeher der heiligen Synode zugezählt wurde und der Aufsicht und Jurisdiktion des Patriarchen untersteht und zu unserer heiligsten allgemeinen und apostolischen Kirche gehört, wenn er auch auf spitzfindige Weise versuchte, dies zu vertuschen und zu verheimlichen, indem er vorgab, es bestünde ein Unterschied zwischen dieser der Synode angehörigen Metropolis der Kaukasier und dem seiner Aufsicht unterstehenden Bistum, das Kaukasia oder ähnlich genannt werde.

Als aber, wie es notwendig war, eine genaue Untersuchung durchgeführt wurde, die kanonischen Bücher vorgelegt wurden und die allerorts befindlichen Metropolien sowie die ihnen unterstellten Bistümer gemäß der seit alters her geltenden Ordnung und Festlegung genau aufgezählt wurden, um die Wahrheit herauszufinden, da wurde kein Bistum gefunden, das unter der (Metropolis) Alania stünde und Kaukasia hieße, wie er als Ausflucht behauptete, sondern es fand sich in Wahrheit lediglich die Metropolis der Kaukasier, die seit jeher auf die oben beschriebene Weise zu den synodalen Metropolien gezählt wurde.

Ebenso wurde vorgebracht und eindeutig erwiesen, daß er den Bischof, den er ja ungesetzlich und unkanonisch auf die heiligste Metropolis der Kaukasier, welche der Synode angehört, geweiht hatte, seines Amtes enthoben hatte, als ebendieser einen Mann weihte und zum Priester beförderte, (und zwar) rechtswidrig, weil dieser eine Frau geheiratet hatte, die schon einem anderen Mann angehört hatte

τοὔμφανὲς εἰς τοῦτο ἐξελεγχθέντα, διαταῦτα καθεῖλε τόνδε τὸν ἐπίσκοπον | καὶ τὸν αὐτὸν πάλιν δεξιωσάμενον ἔπειτα, αὐτονόμῳ γνώμῃ καὶ παρὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων παρατήρησιν, οὐ μόνον συγχωρήσεως ἠξίωσεν, ἀλλὰ καὶ συνελειτούργησεν αὐτῷ, ὅτε δὴ φθάσας ἐχειροτόνησε τὸν Σαραΐου ἐπίσκοπον, δεδωκὼς ἄδειαν ἀκωλύτως ἱερουργεῖν, ὥσπερ ἂν εἰ μηδέν τι μηδαμῶς προσκεκρουκὼς τοῖς κανόσιν ἐφάνη, πρὸς ὃ δὴ καὶ ἀπὸ στόματος συνοδικῶς διωμολόγησε καὶ πρότερον, μὴ δυνάμενος πρὸς τὴν ἀλήθειαν ἀπομάχεσθαι.

Ἤρκει μὲν οὖν τὰ περὶ τούτου καὶ μόνον οὕτως ἀποδεδειγμένα καθαιρέσει ἐκεῖνον ὑποβαλεῖν. εἰ γὰρ ἀνδρὶ παγὶς ἰσχυρὰ τὰ ἴδια χείλη, φησὶ Σολομών, καὶ λόγοις οἰκείου στόματος ἁλίσκεται ἕκαστος, πολλῷ γε μᾶλλον ὁ ἐπὶ τοῦ ἱεροῦ συνοδικοῦ δικαστηρίου καὶ τῆς ἐκκλησίας σχεδὸν ἁπάσης αὐτὸς ἀφ' ἑαυτοῦ, ὡς εἴρηται, διομολογήσας, ὅτι οὐ δι' ἕτερόν τι καθεῖλε τὸν ὡς δῆθεν Καυκασίων παρανόμως χειροτονηθέντα εἰς τὴν συνοδικὴν ταύτην ἁγιωτάτην μητρόπολιν, εἰ μὴ διὰ τὸ ἀφυλάκτως τὴν χειροτονίαν ἐκεῖνον ποιήσασθαι τοῦ πρεσβυτέρου ἐκείνου τοῦ γυναικὶ χηρευούσῃ συνεζευγμένου καὶ ἐξ ἑτέρου οὔσῃ ἀνδρός, ὡς δεδήλωται, ἐνταῦθα τοῦ Θεοῦ μάλιστα συνελαύνοντος, ὡς τὴν ἀλήθειαν ἁπανταχοῦ ἐπευδοκοῦντος κρατεῖν καὶ παρρησιάζεσθαι, σὺν δίκῃ ἐμπεδωθήσεται ὥς τισιν ἀρρήκτοις πέδαις περισφιγγόμενος τοῖς χείλεσι τοῖς οἰκείοις.

Τούτων δὲ οὕτω προκεχωρηκότων, ἐπεὶ εὐδοκίᾳ Θεοῦ εἰσῆλθεν ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ παραδόξως εἰς τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον ταύτην Κωνσταντινούπολιν, δικαιώσαντος αὐτὸν τοῦ Θεοῦ κατὰ τὸ προσὸν αὐτῷ περιφανὲς δίκαιον εἰς τὴν προγονικὴν καὶ πατρικὴν αὐτοῦ ἀρχὴν διὰ τὸ θεοφιλῶς βασιλεύειν καὶ ἐν ἅπασι τοῖς καλλίστοις διαλάμπειν, οὐχήκιστα δὲ φιλανθρωπίᾳ τὲ καὶ χρηστότητι καὶ δικαιοσύνῃ, ἐπανῆλθε δὲ αὐτοῦ τοῦ Θεοῦ συναιρομένου ἐκ τῆς ὑπερορίας ἐκείνης καὶ ἡ μετριότης ἡμῶν εἰς τὴν ἐκκλησίαν αὐτῆς,

92 παγὶς ἰσχυρὰ τὰ ἴδια χείλη] cf. Prov. 18, 7

85 καὶ ἱερῶν supra lin. scripsit V || 89 voces καὶ πρότερον cum signo supplendas esse indicante supra lin. scripsit V || 99 ἐξετέρου V || 101—102 ἐμπεδη-

und Witwe war, was klar erwiesen worden war, und daß er (= der Metropolit von Alania) denselben (Bischof) hierauf, nachdem sich letzterer wiederum eingeschmeichelt hatte, aus eigenem Gutdünken und entgegen der Beachtung der göttlichen und heiligen Kanones nicht nur der Verzeihung für würdig hielt, sondern mit ihm zusammen Gottesdienst feierte, als er den Bischof von Saraïon weihte, und ihm die Erlaubnis erteilte, ungehindert als Priester zu wirken, wie wenn er niemals in irgendeiner Weise den Kanones zuwidergehandelt hätte; dies hatte er schon zuvor vor der Synode aus eigenem Munde zugegeben, weil er nicht gegen die Wahrheit ankämpfen konnte.

Sein Fall hätte allein bei dieser Beweislage ausgereicht, ihn der Exkommunikation zu unterwerfen. Wenn nämlich, nach den Worten Salomons, für einen Mann seine eigenen Lippen einen festen Fallstrick darstellen und ein jeder von den Worten seines eigenen Mundes überführt wird, dann wird umso mehr derjenige, der vor dem heiligen Synodalgericht und fast vor der gesamten Kirche selbst von sich aus, wie gesagt wurde, zugegeben hat, daß er wegen keines anderen Grundes den als angeblichen (Bischof) der Kaukasier widerrechtlich auf diese zur Synode gehörende heiligste Metropolis Geweihten abgesetzt habe, als daß dieser unbedacht die Weihe eines Priesters vorgenommen habe, der mit einer Frau, die als Witwe schon einen anderen Mann gehabt hatte, verheiratet war, wie erklärt wurde, (dann wird dieser also) auf ausdrücklichen Antrieb Gottes, dem es gefällt, daß die Wahrheit überall die Oberhand gewinnt und freimütig ausgesprochen wird, zu Recht dingfest gemacht werden als einer, der von seinen eigenen Lippen wie von unzerreißbaren Fußfesseln eingeschnürt ist.

Die Angelegenheit hatte nun diesen Verlauf genommen. Als mit Gottes Wohlgefallen mein mächtigster und heiliger Kaiser wunderbarerweise in die gottgepriesene, gottgeschützte und gotterhöhte (Stadt) Konstantinopel zurückkam, da Gott ihm, seinem offensichtlichen Recht entsprechend, die ihm von seinen Ahnen und vom Vater her zustehende Herrschaft zusprach, weil er in gottgefälliger Weise Kaiser ist und sich in allem durch größte Vorzüge auszeichnet, nicht zuletzt durch seine Menschenliebe, Güte und Gerechtigkeit, da kam, ebenfalls mit Gottes Hilfe, auch unsere Bescheidenheit aus jener Verbannung hierher zurück in ihre Kirche. Die ge-

θήσεται MM || 105—106 θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον scripsimus cum MM secundum usum aliorum documentorum; θεοδόξαστον, θεοφύλ καὶ θεοφύλακτον V

οἱ δέ γε ῥηθέντες πρεσβύτεροι, οἱ Ταναΐται, οὐκ ἦσαν ἐπιδημοῦντες ἐνταῦθα, ἔφθασε δὲ καὶ ὁ ἀδελφὸς αὐτοῦ παρὰ τὴν τούτου αἰτίαν τοὺς ἱερεῖς ἀδικοῦντος, καθάπερ ἀνωμολογήθη παρὰ τῶν ἀνωτέρω εἰρημένων πολιτῶν καὶ πραγματευτῶν, προσχωρήσας τοῖς Πέρσαις διὰ τὸ μὴ βούλεσθαι ἀποδοῦναι, ὅσην οἱ ἱερεῖς κατεβάλοντο ἔξοδον ἀπελθόντες ἐξ αἰτίας αὐτοῦ εἰς τὸν χάνην, καὶ συνθέμενος τῇ τούτων ἀσεβείᾳ μουσουλμανίσας, πλεῖστα καθικέτευσε συνοδικῶς τὴν ἡμῶν μετριότητα καὶ πᾶσαν τὴν περὶ αὐτὴν ἱερὰν ἀδελ|φότητα, ὡς ἂν μάλιστα διὰ τὸ ἐπιστρέψαι ἀπὸ τῆς πλάνης καὶ ἀσεβείας τόνδε τὸν ἀδελφὸν αὐτοῦ λάβῃ ἐπί τινα καιρικὴν προθεσμίαν τὸ ἐνδόσιμον καὶ ἀπέλθῃ ἐπὶ τούτῳ ἐκεῖσε, καθυποσχόμενος δι' οἰκειοχείρου γράμματος αὐτοῦ καὶ ἰδίᾳ ὑπογραφῇ πεπιστωμένου ἐπιστῆναι ἀλογοπραγήτως τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ ἀπολογήσασθαι καὶ ἐπὶ τοῖς ἑτέροις ἐγκλήμασιν, ἐφ' οἷς κατηγορεῖτο, δι' ὅλου τοῦ παρελθόντος ὀκτωβρίου μηνός, ἅτε δὴ καὶ τῶν ἀντικαθισταμένων τούτῳ μετακληθέντων καὶ παραγενομένων.

Ἐπεὶ δὲ αὐτὸς μὲν ἐψεύσατο τὴν ὑπόσχεσιν, οἱ δὲ διαληφθέντες
163r ἱερεῖς ἦσαν τῇ ἐκκλησίᾳ || προσεδρεύοντες καὶ προσταλαιπωρούμενοι πλείστῃ κακοπαθείᾳ καὶ αὐτῶν γε τῶν ἀναγκαίων κατατρυχόμενοι, συνοδικὰ ψηφίσματα πολλάκις καὶ διαφόρως ἀπελύθησαν πρὸς αὐτὸν ἐπὶ τῷ ἀφικέσθαι ἀπροφασίστως εἰς τὴν σύνοδον καί, εἴ γε δύναιτο, ἀπολογήσασθαι περὶ τῶν ἐπενηνεγμένων κατ' αὐτοῦ τοιούτων αἰτιαμάτων, δοθείσης καὶ πάλιν αὐτῷ ἑτέρας καιρικῆς διωρίας, μέχρις καὶ ὅλου δηλαδὴ τοῦ παρελθόντος ἀπριλλίου, τῶνδε τῶν ἱερέων κατὰ τὸν ὅμοιον τρόπον ἐνταῦθα κατατριβομένων καὶ τὴν τοσαύτην ὑφισταμένων ταλαιπωρίαν καὶ κακοπάθειαν καὶ τὴν ἐκείνου ἄφιξιν ἀναμενόντων καὶ διαβιβασάντων οὐ μόνον τὴν τότε τοῦ μετοπώρου ὥραν, ἀλλὰ καὶ τὴν τοῦ χειμῶνος, ἤδη δὲ καὶ ταυτηνὶ σχεδὸν τὴν τοῦ ἐνισταμένου θέρους.

Προέβη μέντοι καὶ αὖθις συνοδικὸν ψήφισμα πρὸς αὐτὸν ἐμβριθῶς ἐν ἰσχυρᾷ βεβαιώσει ἐπιφωνούμενον, ὡς, εἴπερ καὶ πάλιν περιφρονητικῶς διατεθεὶς οὐκ ἀπαντήσει ἐντὸς τῆς ἀποταχθείσης διωρίας κατὰ πολλὴν συγκατάβασιν, ἤγουν τοῦ παρελθόντος ἀπριλλίου, ὡς δεδήλωται, ὡς καταφρονῶν μὲν καὶ τῆς τῶν θείων καὶ ἱερῶν κανόνων παρακελεύσεως

112 Ταναῖται V || 120 ση(μείωσαι) in margine lineae cum voce ἀδελφόν incipentis scripsit V, quod verisimiliter refertur ad professionem metropolitae Alaniae || 127 δὲ[2]] δὴ MM || 129 ἑαυτῶν MM

nannten Priester aus Tanaïs befanden sich damals nicht hier, und (andererseits) war sein (= des Metropoliten von Alania) Bruder, um dessentwillen er den Priestern Unrecht zugefügt hatte, was durch die Aussagen der oben genannten Bürger und Kaufleute bezeugt war, zu den Persern übergetreten, weil er nicht den Betrag erstatten wollte, den die Priester entrichtet hatten, die seinetwegen zum Chan gegangen waren, und er schloß sich deren Gottlosigkeit an und wurde zum Muslim. Da flehte er (= der Metropolit von Alania) vor der Synode heftig unsere Bescheidenheit und die gesamte um diese versammelte heilige Brüderschar an, daß ihm, vor allem damit er eben seinen Bruder von dieser Irrung und Gottlosigkeit zurückholen könne, für eine zeitliche Frist die Erlaubnis gewährt werde, sich zu diesem Zweck dorthin zu begeben, wobei er in einem eigenhändig geschriebenen und mit seiner eigenen Unterschrift beglaubigten Schriftstück versprach, daß er ohne Ausflüchte sich zu unserer heiligen und göttlichen Synode begeben werde und sich auch hinsichtlich der anderen Vergehen, deren er angeklagt wurde, verantworten werde, und zwar bis Ende des vergangenen Oktobers, zumal auch seine Gegner geladen waren und sich eingefunden hatten.

Da sich sein Versprechen als Lüge erwies, andererseits die genannten Priester regelmäßig vor der Kirche(nversammlung) erschienen und ausharrten, obwohl sie größte Not selbst am Notwendigen quälte, wurden oft und verschiedentlich synodale Entscheidungen an ihn expediert, er solle ohne Umschweife zur Synode kommen und, sofern er das könne, sich gegen ebendiese ihm gegenüber erhobenen Vorwürfe verteidigen, wobei ihm wiederum eine weitere Frist gegeben wurde, diesmal bis Ende des vergangenen Aprils. Die Priester freilich wurden in gleicher Weise (wie bisher) hier zermürbt und litten große Plage und Not, während sie auf seine Ankunft warteten. So verbrachten sie nicht nur den Herbst, sondern auch den Winter, ja bald schon den gegenwärtigen Sommer.

Indessen erging wiederum eine Synodalentscheidung an ihn, mit Nachdruck, in festen, entschiedenen Worten gehalten, daß er dann, wenn er neuerlich aus seiner mißachtenden Einstellung nicht innerhalb der mit viel Nachsicht festgelegten Frist erscheine, also, wie erwähnt, bis vergangenen April, als einer, der sowohl die Anordnung und den Befehl der göttlichen und heiligen Kanones mißachte

τε καὶ διατάξεως, ἀθετῶν δὲ καὶ τὴν πρὸς τὴν σύνοδον ἰδίαν ὑπόσχεσιν αὐτοῦ ὁμολογουμένως καθαιρέσει ὑποβληθήσεται ἕνεκα τῶν ἀποδεδειγμένων κατ' αὐτοῦ τοιούτων ἐγκλημάτων, δι' ὧν τοῖς κανόσιν ἐφάνη προσκεκρουκὼς καὶ ἐμπαροινήσας.

Ἐκεῖνος μέντοι γε καὶ διαρρήδην διωμολόγησεν, ἔτι ἐπιδημῶν ἐνταῦθα, ὑπεραλγῶν δῆθεν ἐπὶ τῇ ψυχικῇ ἀπωλείᾳ τοῦ ἀδελφοῦ, ὡς, εἴπερ ἀπεδίδου τὴν καταβληθεῖσαν παρὰ τῶνδε τῶν ἱερέων ἔξοδον ἀπελθόντων ἐξ αἰτίας αὐτοῦ εἰς τὸν χάνην, καθάπερ εἴρηται ἀνωτέρω, κἀντεῦθεν κατεπαύοντο καὶ τὰ ἐπιφυέντα σκάνδαλα, οὐκ ἂν ὁ ἀδελφός, ὡς μὴ ὤφελε, τῷ μουσουλμανισμῷ περιέπιπτε. μεμαρτύρηται δὲ ἀριδήλως τὰ περὶ τούτου καὶ παρὰ | τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ τε Χριστουπόλεως καὶ τοῦ Κελτζηνῆς, ὅτι ἀληθῶς ἐνώπιον αὐτῶν γενομένων αὐτηκόων ἐξεῖπεν οὗτος αὐτὸ καὶ ἀνεκάλυψεν, οἴκοθεν ὡρμημένος, ὡς ἐπὶ τῷ ἀδελφῷ ἀνιώμενος, εἰ καὶ τοῦτο σκῆψις ὕστερον καὶ ματαία πρόφασις ἀπελήλεγκται· οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς ἱερωτάτους ἀρχιερεῖς, τὸν Χριστουπόλεως, τὸν Κελτζηνῆς καὶ τὸν Σμύρνης, ἔτι τε καὶ πρός τινας τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων ἔδειξε καὶ εἶπεν ὁμοίως ἐκεῖνος, μέλλων ἀποδημεῖν ἀπὸ τῶν ἐνταῦθα, ὅτι κατὰ πρόφασιν κατεψευσμένην ἐξέθετο τὴν προβᾶσαν ἔγγραφον ὑπόσχεσιν παρ' αὐτοῦ, τὸ δὲ σκόπιμον ἦν ἐκείνῳ ὁλοσχερῶς, ὡς, εἴπερ μόνον ἰσχύσας ἐξέλθοι, οὐκ ἂν πώποτε ὑποστρέψειεν.

Ὅσον τὸ ἐπ' αὐτῷ, οὕτως οὖν οὐ μόνον καθάπαξ κατεφρόνησε τῆς τῶν θείων καὶ ἱερῶν κανόνων παρατηρήσεως, ἀλλὰ καὶ αὐτῶν τῶν ἐγγράφως ὑπεσχημένων, ἔργῳ δήπου πληρῶν, ἅπερ ἔλεγε πρότερον, ἀλλὰ καὶ ἐκ κακοήθους ψυχῆς καὶ γνώμης θρασείας κατολιγωρῶν ἄντικρυς καὶ καταπαίζων καὶ παρουδὲν τιθέμενος τὰ πρὸς αὐτὸν κατὰ τὴν κανονικὴν διάταξιν ἀπολυθέντα συνοδικὰ ψηφίσματα μετακαλούμενα τοῦτον ἐνταῦθα ἐμήνυεν, ὡς οὐδέν ἐστιν ἔργον αὐτῷ οὐδὲ φρόντισμα ἀφικέσθαι ἐνταῦθα, ἐπειδὴ ἑτέρας ἔχει δουλείας ἐπικειμένας αὐτῷ, ἀλλ' οὐδὲ ἔγγραφον ἀναφορὰν ἐξαποστεῖλαι ἠνέσχετο εἰς τὴν σύνοδον ἢ ἱκεσίαν τινὰ ποιήσασθαι καὶ παράκλησιν ἢ καὶ ὡρισμένον

145 ὑποβληθήσεται] difficulter legitur || 149 ὡς] litt. ὡ ex corr. V || 158 αὐτοὺς supra lin. scripsit V || 162 κατεψευσμένην] litt. μ ex μμ corr. V || 165 οὕτως οὖν ...] σημ(είωσαι) in marg. scripsit V, quod verisimiliter refertur ad subdolam

als auch sein eigenes Versprechen gegenüber der Synode eingestandenermaßen breche, der Amtsenthebung unterworfen werde wegen dieser ihm nachgewiesenen Verbrechen, durch die er offensichtlich gegen die Kanones verstoße und diese beleidige.

Jener hat überdies, als er sich noch hier aufhielt und vorgeblich wegen der seelischen Verderbnis seines Bruders sehr in Sorge war, ausdrücklich erklärt, daß dann, wenn er die Ausgaben ersetzt hätte, die von den Priestern entrichtet worden waren, die seinetwegen zum Chan gekommen seien, wie oben gesagt wurde, und daraufhin auch die entstandenen Streitigkeiten ein Ende gefunden hätten, der Bruder nicht, was nicht geschehen hätte sollen, dem Islam verfallen wäre. Sein Fall wurde in klarer Weise auch von den heiligsten Erzpriestern und Hypertimoi, den (Metropoliten) von Christupolis und von Keltzene, bezeugt, daß dieser das in Wahrheit und vor ihnen als Ohrenzeugen gesagt und aus freien Stücken enthüllt habe, daß er wegen seines Bruders betrübt sei, wenn sich das auch später als Ausrede und eitler Vorwand herausstellte. Aber auch gegenüber denselben heiligsten Erzpriestern von Christupolis, Keltzene und Smyrna sowie weiters gegenüber einigen der ehrwürdigsten kirchlichen Beamten zeigte und sagte jener desgleichen, als er im Begriff war, von hier wegzureisen, daß er als erlogenen Vorwand sein vorgelegtes schriftliches Versprechen ausgestellt habe; doch sein Ziel sei es ausschließlich gewesen, wenn es ihm nur möglich sei, (von hier) wegzukommen, nie mehr zurückzukehren.

Was dies betrifft, so hat er nicht nur die Befolgung der göttlichen und heiligen Kanones gänzlich mißachtet, aber auch sein schriftliches Versprechen, indem er in die Tat umsetzte, was er vorher gesagt hatte, sondern er hat aus seiner sittenlosen Seele und frechen Geisteshaltung unverhohlen die entsprechend der kanonischen Ordnung an ihn expedierten synodalen Entscheidungen, die ihn hierher vorluden, gering geachtet und verlacht und als Nichts betrachtet. So tat er kund, daß er keine Handlung und keinen Gedanken daran verschwende, hierher zu kommen, da er andere anstehende Geschäfte zu erledigen habe. Aber er nahm es nicht einmal auf sich, ein schriftliches Vorbringen an die Synode abzuschicken oder eine Bitte oder ein Ersuchen zu verfassen oder auch nur einen

professionem metropolitae Alaniae || 169 παρουδὲν] sub litt. ουδ lin. ducta in V || 173 ἔγγραφως V; ἔγγραφον scripsimus cum MM

τινὰ καιρὸν δηλῶσαι περὶ τῆς ἀφίξεως αὐτοῦ ἢ περὶ ἑτέρας ἡστινοσοῦν αἰτίας ἢ ζητήσεως, ἀφροντίστως ἔχων παντάπασιν, ὥσπερ ἂν εἰ μὴ διαφόρως ἐξηλέγχετο συνοδικῶς καὶ πρότερον, ἐφ᾿ οἷσπερ ἑάλω τοῖς κανόσι παντελῶς ἀπηγορευμένοις, μηδ᾿ ἐπηγγέλλετο ἐγγράφως ἐπὶ τῷ ἀπαντῆσαι καὶ ἀπολογήσασθαι, καὶ ταῦτα συνοδικῶν ψηφισμάτων μετακαλουμένων αὐτόν, ὡς δεδήλωται, καὶ τῶν συγκαταβάσεως λόγῳ δοθεισῶν αὐτῷ καιρικῶν εἰς τοῦτο προθεσμιῶν παρελθουσῶν καὶ τῶν ἱερέων ἐν τῷ ἀναμένειν ἐκτριβέντων σχεδόν, αὐτοῦ τὸν καιρὸν κατὰ τὸ δοκοῦν αὐτῷ παρακρουομένου καὶ ἀμυντικῶς κατὰ τούτων διακειμένου.

Καὶ τί ἂν ἔχοι τις περὶ τῶν ἄλλων κατὰ μέρος διεξιέναι; ὅθεν καὶ εἰ κατὰ τὸν ιγ′ κανόνα τῆς ἐν Καρχηδόνι συνόδου οὕτω πρὸς λέξιν διαγορεύοντα «ἐάν τις ἐναντιωθῇ || *163v* τῇ ἰδίᾳ ὁμολογίᾳ ἤτοι τῇ ἰδίᾳ ὑπογραφῇ, ἑαυτὸν ἀποστερήσει τῆς ἰδίας τιμῆς», πολλῷ γε μᾶλλον ταύτης ἐνδίκως ἀποστερηθήσεται ὁ προδήλως ἀθετητὴς γενόμενος οὐ μόνον τῆς οἰκειοχείρου αὐτοῦ ἐγγράφου ὑποσχέ|σεως καὶ ὑπογραφῆς, ἀλλὰ καὶ προδήλως καταφρονητὴς τῶν τε θείων κανονικῶν διατάξεων καὶ τῶν προσκαλουμένων αὐτὸν διαφόρως συνοδικῶν ψηφισμάτων καὶ μηδὲ ἀπολογίας ἡστινοσοῦν, καθὰ καὶ ὀφειλομένως εἶχε.

Καὶ πάλιν· εἰ κατὰ τὸν ἀποστολικὸν λε′ κανόνα οὕτω κατὰ ῥῆμα θεσπίζοντα «ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ κώμας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποικὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας καὶ χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησε».

Διαγορεύουσι δὲ καὶ οἱ φιλευσεβεῖς νόμοι ῥητῶς· «ὁ ἐν ὑπερορίᾳ χειροτονῶν ἢ καὶ ἕτερόν τι παρὰ τὸ καθῆκον ποιῶν ἀγανακτεῖται καὶ ἀφορίζεται».

186—187 ἐάν τις—τιμῆς] Conc. Carth., Can. 13 (I/2, 227, 4—7 Joannou) || 194—197 ἐπίσκοπον—ἐχειροτόνησε] Can. apost. 35 (III 284, 126—130 Metzger) || 198—200 ὁ ἐν ὑπερορίᾳ χειροτονῶν ἢ καὶ ἕτερόν τι παρὰ τὸ καθῆκον ποιῶν ἀγανακτεῖται καὶ ἀφορίζεται] locum non invenimus; cf. etiam Theod. Bals., Comm. in Can. apost. 35 (I 48, 3 sqq. Rhalles–Potles), ubi nulla lex imperialis affertur

bestimmten Termin seines Kommens anzugeben oder (sich) zu irgendeiner anderen Anschuldigung oder Untersuchung (zu äußern). Es kümmerte ihn überhaupt nicht, wie wenn ihm nicht verschiedentlich in der Synode und schon zuvor solche von den Kanones ganz und gar verbotenen Handlungen nachgewiesen worden wären, deren er überführt wurde, noch (kümmerte es ihn, daß) er ein schriftliches Versprechen abgegeben hatte, zu erscheinen und sich zu verantworten; und dies, obwohl ihn Synodalentscheidungen, wie erwähnt, vorgeladen haben und ihm aus Nachsicht gewährte Fristen verstrichen sind und die Priester durch das Warten fast aufgerieben wurden, während er den Termin nach seinem Belieben umstieß und sich gegen diese abwehrend verhielt.

Und was sollte man hinsichtlich der anderen Punkte im einzelnen ausführen? Wenn es schon im 13. Kanon des Konzils von Karthago wörtlich heißt: „Wenn jemand seiner eigenen Aussage oder seiner eigenen Unterschrift zuwiderhandelt, beraubt er sich seiner Ehre", so wird doch umso mehr derjenige gerechterweise (seiner Ehre) beraubt werden, der nicht nur offensichtlich sein eigenes schriftliches Versprechen und seine Unterschrift zunichte macht, sondern auch offensichtlich die göttlichen kanonischen Vorschriften mißachtet sowie die Synodalentscheidungen, durch die er verschiedentlich vorgeladen wurde, und nichts zu seiner Verteidigung (vorbringt), wie es sich gehört hätte.

Und weiter: Gemäß dem 35. Kanon der Apostel heißt es wörtlich: „Ein Bischof soll es nicht wagen, außerhalb seiner (Sprengel)-grenzen Weihen vorzunehmen in Städten und Dörfern, die nicht ihm unterstellt sind; wenn aber einer überführt werde, daß er das getan habe, gegen den Willen derjenigen (Kirchenführer), die diese Städte und Dörfer innehaben, sollen er selbst und diejenigen, die er geweiht hat, ihres Amtes enthoben werden".

Auch die frommen Gesetze bestimmen wörtlich: „Wer außerhalb seines Gebietes weiht oder sonst gegen seine Pflicht handelt, der fällt in Ungnade und wird exkommuniziert".

177 καὶ πρότερον supra lin. cum signo suppl. V; om. MM || 184 περὶ] litt. π ex corr. V || 192 ἡστινοσοῦν] sub litt. τιν lin. ducta in V | καθάπερ MM || 193 usque ad 200] in marg. virgulas scripsit V || 199 παρὰ] litt. π ex corr. V

Οὐχήκιστα ἂν εἴη σὺν δίκῃ ὑπὸ καθαίρεσιν εἰς τοῦτο θράσους ἐληλακώς, ὥστε καὶ τὴν τῶν Καυκασίων τῆς μεγάλης συνόδου ἁγιωτάτην μητρόπολιν καὶ τῇ πατριαρχικῇ περιωπῇ ἄνωθεν ὑποκειμένην καὶ ταῖς λοιπαῖς συνοδικαῖς μητροπόλεσιν συνηριθμημένην αὐτονόμως καὶ ἀκανονίστως ἀποτολμήσας ποιήσασθαι ὑφ᾽ ἑαυτόν, οὐ μόνον τῆς ἀληθείας καταψευδόμενος παντελῶς, ἀλλὰ καὶ ἀπεναντίας ἐλθὼν τῇ ἑτέρᾳ τούτου ὁμολογίᾳ ἐγγράφῳ, ὅτε εἰς ἀρχιερέα προέβαινεν, οἰκειοχείρως ἐγγραψάμενος ἐπὶ λέξεως οὕτως· «πρὸς τούτοις καθομολογῶ φυλάττειν καὶ τὰ πατριαρχικὰ δίκαια ἀπαρεγχείρητα».

Πρὸς τούτοις γε μὴν ἔστιν καθαιρετέος καὶ διὰ τὰ ἕτερα ἄτοπα καὶ ἀκανόνιστα, ἅπερ αὐτός τε διωμολόγησεν ἀπὸ τοῦ οἰκείου στόματος καὶ οἱ διαληφθέντες πραγματευταὶ καὶ πολῖται συνοδικῶς μετ᾽ ἀσφαλείας τῆς προσηκούσης ἐρωτηθέντες παρέστησαν, τὰ πλείω δὲ παρῆκεν ὁ λόγος τῆς ἀτοπίας αὐτοῦ τὸ μῆκος ὑφορώμενος.

Ἤρκει μέντοι γε καὶ μόνον τὸ ἐν παγίδι ληφθῆναι τῇ ὁμολογίᾳ τῆς γλώσσης αὐτοῦ, τοῦτο δὴ τὸ Σολομώντειον, εἰς τὴν τούτου καθαίρεσιν, ἥπερ ἐρρήθη, τὸ δὲ καὶ τὴν τῶν Καυκασίων ἁγιωτάτην μητρόπολιν ἀποσπάσαντα τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὑφ᾽ ἑαυτὸν ἀναιδῶς ποιήσασθαι, τοῦτο δὲ καὶ πάσης συμπαθείας αὐτὸν ἀποκλείει.

Διὰ γοῦν ταῦτα συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν θείᾳ ὁμηγύρει καὶ ἀδελφότητι τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σηλυβρίας καὶ τὸν τόπον Νικομηδείας ἐπέχοντος, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Σταυρουπόλεως, τοῦ Χριστουπόλεως, τοῦ Σμύρνης, τοῦ Βιζύης, τοῦ Κελτζηνῆς, τοῦ Μηδείας, τοῦ Ῥωσίου, τοῦ Σουγδαίας, τοῦ Γαρέλλης καὶ τοῦ Λιτβῶν, καθῃρημένον τουλοιποῦ | τυγχάνειν αὐτὸν προδήλως ἀθετητὴν τῶν θείων κανόνων γενόμενον καὶ ἀπογεγυμνωμένον πάσης ἱερωσύνης καὶ παντάπασιν ἀπηλλοτριωμένον τοῦ τῶν ἀρχιερέων χοροῦ καὶ μηκέτι παρὰ μηδενὸς καθ᾽ οἱονδήτινα τρό-

215—216 cf. locum in commentario ad lin. 92 huius documenti pertinente laudatum

201 οὐχήκιστα] sub litt. στα lin. ducta in V | σὺν δίκῃ om. MM || 219 ἑαυτὸν] litt. ὁ ex ω corr. V || 224 post Σταυρουπόλεως voces τοῦ Κελτζηνῆς canc. V || 226 τουλοιποῦ] sub. litt. υ lin. ducta in V

Insbesondere wäre er zu Recht der Absetzung (unterworfen worden), da er sich zu einem solchen Ausmaß an Frechheit verstieg, daß er die heiligste Metropolis der Kaukasier, die der großen Synode angehört und seit jeher unter der Aufsicht des Patriarchen steht und den übrigen synodalen Metropolien zugezählt wird, eigenmächtig, gegen das kanonische Recht sich zu unterstellen anmaßte. Dabei hat er sich nicht nur mit seiner Lüge gänzlich gegen die Wahrheit gestellt, sondern auch gegen seine andere schriftliche Erklärung (aus der Zeit), als er zum Erzpriester befördert wurde und eigenhändig eine Verpflichtungserklärung abgab, in der es wörtlich hieß: „Des weiteren erkläre ich, daß ich die Rechte des Patriarchen unantastbar bewahren werde".

Zusätzlich ist er seines Amtes zu entheben auch wegen der anderen abwegigen und unkanonischen Handlungen, die er selbst aus eigenem Mund einbekannt hat und die die genannten Kaufleute und (Konstantinopler) Bürger vor der Synode mit der entsprechenden Bekräftigung auf Befragen bestätigt haben. Das meiste wurde aus Rücksicht auf den Umfang seiner Abwegigkeiten in der vorliegenden Darlegung beiseite gelassen.

Es hätte freilich zu seiner Amtsenthebung auch ausgereicht, daß er sich im Fallstrick der oben genannten Aussage seiner Zunge fangen ließ, wie das Salomonswort lautet. Daß er aber auch die heiligste Metropolis der Kaukasier der heiligen allgemeinen und apostolischen Kirche Gottes entzog und schamlos sich selbst unterstellte, das schließt ihn von jeglicher Nachsicht aus.

Deshalb hat unsere Bescheidenheit nach gemeinsamer Beratung mit der sie umgebenden göttlichen Versammlung und der brüderlichen Gemeinschaft der heiligsten Erzpriester, der (Metropoliten) von Herakleia, von Selybria, welcher auch die Position des (Metropoliten) von Nikomedeia innehat, von Nikaia, von Chalkedon, von Staurupolis, von Christupolis, von Smyrna, von Bizye, von Keltzene, von Medeia, von Rhosion, von Sugdaïa, von Garella und von Litauen (entschieden), daß dieser von nun an seines Amtes enthoben sei, weil er offensichtlich die göttlichen Kanones übertreten hat, und daß er jeglichen Priesteramtes entkleidet und aus dem Kreis der Erzpriester in jeder Hinsicht ausgeschlossen sein soll und niemals von niemandem und auf keine Weise mehr in eine erzprie-

πον προσδεχθῆναι εἰς ὑπηρεσίαν ἀρχιερατικὴν ἢ ὅλως ἱερατικήν, ἐπειδὴ τὸν τοιοῦτον μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἐνδίκως καὶ κανονικῶς κοινῇ πάντες συνοδικῶς παντελεῖ καθαιρέσει καθυποβάλλομεν.

Διὰ γοῦν τὴν περὶ τούτου μόνιμον τὴν ἀσφάλειαν καὶ εἰς τὸν ἑξῆς χρόνον ἀπολέλυται καὶ ἡ ἔγγραφος αὕτη συνοδικὴ ἀπόφασις εἰς καθαίρεσιν αὐτοῦ, καταστρωθεῖσα ἐν τοῖς ἱεροῖς κωδικίοις, ὥσπερ εἴθισται καὶ νενόμισται κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν παράδοσιν καὶ ὑποτύπωσιν τῇ ἐκκλησίᾳ Θεοῦ.

Εἶχε τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ἐνάτης †.* ||

---

238 post finem documenti quarta fere pars f. 163^{v} scriptura caret in V; textus documentorum, quae f. 164^{r-v} (numm. 423 [ultima pars]—425 nostrae editionis) praebet, post f. 308^{v-r} (sic) inserendus est

216

Kallistos I. erkennt der Euphrosyne, Tochter des Chytos, und deren Kind das Eigentum an einem zu Euphrosynes Mitgift gehörenden Weingarten zu.

V 47, f. 165^{r}	μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ιβ^{ης} (Z. 38—39)
MM I 382—383 (Nr. 170)	Januar ⟨1359⟩
DAR. Reg. 2409	(vgl. ἐδικαίωσε [Z. 28])

Erwähnte Urkunden und Gesetze:

a) Dotalurkunde des Philometes Katastates für sein Taufkind Euphrosyne, Tochter des Chytos (προικῷον σύμφωνον: Z. 21; σύμφωνον: Z. 5 und 26; vgl. auch κατεγράφησαν ... προικὸς χάριν [Z. 3], συμφωνηθῆναι [Z. 18—19], κατεγράφη [Z. 25], τῆς καταγεγραμμένης καὶ συμφωνηθείσης αὐτῇ προικῴας μερίδος [Z. 32])

b) ⟨Basilicorum lib. XXVIII 8, 75 (SCHELTEMA–VAN DER WAL A IV 1392, 21 bis 23) nach Cod. Iust. V 18, 11 (KRUEGER 215)⟩ (οἱ φιλευσεβεῖς νόμοι: Z. 26 bis 27; νόμοι Z. 31)

c) nicht weiter spezifizierte Gesetze, welche die Verfügungsgewalt des Eigentümers über sein Eigentum regeln (ὅσα παρὰ τῶν φιλευσεβῶν νόμων τοῖς γνησίοις δεσπόταις ἐπὶ τοῖς ἑαυτῶν ἐφεῖται ποιεῖν κτήμασί τε καὶ πράγμασιν: Z. 35—36) (vgl. auch Nr. 23, Z. 53—54, oder Nr. 44, Z. 52—53).

sterliche oder überhaupt priesterliche Tätigkeit aufgenommen werden soll. Denn wir alle unterwerfen ihn nach eingehender und genauer Untersuchung dem Recht und den Kanones entsprechend in synodaler Gemeinsamkeit der völligen Amtsenthebung.

Zur diesbezüglichen beständigen Sicherung auch für die Zukunft wird diese schriftliche Synodalentscheidung zu seiner Amtsenthebung expediert, welche in die heiligen Register eingetragen wurde, wie es der Gewohnheit und dem Recht der seit jeher geltenden Überlieferung und der Vorschrift der Kirche Gottes entspricht.

(Das Original) hatte (die Menologemunterschrift): „Im Monat Juli der 9. Indiktion".

216

Vorbringen der Klägerin Euphrosyne, Tochter des Chytos (1—11). *Rechtsschutzbitte der Klägerin* (12—18). *Vorbringen des Beklagten Georgios Phoster* (18—21). *Beweisverfahren und Beweiswürdigung* (21 bis 26). *Entscheidung des Gerichts* (26—36). *Gekürzter Ausstellungsvermerk* (37). *Datierung* (37—38).

Nikolaos, Sohn des Chalkeus, heiratete Euphrosyne, Tochter des Chytos. Der Taufpate der Ehefrau, Philometes Katastates, bestellte durch Urkunde eigenes Vermögen zur dos, darunter den strittigen Weingarten. Nikolaos, Sohn des Chalkeus, hat über Vermittlung seiner Schwägerin, der nachmaligen Nonne Marina, ein Gebäude anstelle des Weingartens als dos erhalten. Der Weingarten ist offensichtlich im Besitz des Georgios Phoster, der als Mann der Schwester der Euphrosyne bezeichnet wird. Es liegt nahe, daß die Ehegattin des Georgios Phoster die nachmalige Nonne Marina gewesen ist, da Phoster mit Berufung auf ihre Rechte sich als Beklagter in den Prozeß einläßt. Er behauptet, daß die Dotalurkunde als Gegenstand der dos das Gebäude nenne. Der Tausch ist ohne Wissen und Willen der Ehegattin des Nikolaos, Euphrosyne, erfolgt. Die Klägerin Euphrosyne fordert offenbar nach dem Tod ihres Ehegatten von Georgios Phoster den Weingarten. Das Gericht begehrt von der Klägerin zum Beweis ihres Anspruches die Vorlage der Dotalurkunde. Sie bringt vor, diese sei ihr von ihrem Bruder Niketas Alyates gestohlen worden. Der Beweis wird durch Zeugenaussage des dos-Bestellers, Philometes Katastates, geführt, der unter Eidesleistung den Weingarten als Dotalgegenstand nennt. Das Gericht spricht daher den Weingarten der Klägerin zu und verpflichtet sie zur Herausgabe des Gebäudes an die Nonne Marina (bzw. an ihren Rechtsträger).

165r † Παρίσταται τῷ καθ᾽ ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ ἡ τοῦ Χύτου Εὐφροσύνη καὶ ἀναφέρει, ὡς συνεζεύχθη ἀνδρὶ κατὰ νόμους Νικολάῳ τῷ τοῦ Χαλκέως καὶ κατεγράφησαν μὲν αὐτῇ καὶ προικὸς χάριν πράγματα, ὅσα δῆτα καὶ κατεγράφησαν, κατεγράφη δὲ αὐτῇ καί τι ἀμπέλιον διακείμενον περὶ τὴν τοποθεσίαν τοῦ Ἀϊτανᾶ, καθὰ δὴ καὶ τῷ συμφώνῳ ταύτης ἐμπεριείληπται· ἀπέτεκε δὲ καὶ παιδίον θῆλυ ἐξ αὐτοῦ δὴ τοῦ Χαλκέως, ὃ δὴ καὶ τῷ βίῳ περίεστι. ἔφθασε μέντοι ὁ τοιοῦτος ἀνὴρ καὶ ὡς τοῦ ἀμπελίου μὴ ἀποδιδομένου κατὰ τὸ πρῶτον ἔλαβεν οἴκημά τι ἀντὶ τούτου παρὰ γνώμην καὶ εἴδησιν τῆς γυναικὸς ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐφόρου, ὅπερ κατέσχε δὴ λόγῳ τῆς γυναικαδέλφης αὐτοῦ, τῆς μοναχῆς Μαρίνης.

Ἡ γοῦν τοιαύτη Εὐφροσύνη τὴν ἀγωγὴν κινοῦσα μετὰ τοῦ παιδίου αὐτῆς περὶ τῆς προικὸς ἀνακαλεῖται τὸ προικῷον ταύτης ἀμπέλιον μὴ βουλομένη κατέχειν τὸ οἴκημα, ἅτε δὴ παρὰ τὴν ταύτης βούλησιν φθάσαντος λαβεῖν αὐτὸ τοῦ ἀνδρός, ὡς δεδήλωται, κἀντεῦθεν ἐζήτησεν ἀντικριθῆναι Γεωργίῳ, τῷ Φώστηρι ἐπονομαζομένῳ, γαμβρῷ ἐπ᾽ ἀδελφῇ ταύτης τυγχάνοντι καὶ τῶν δικαίων τῆς μοναχῆς Μαρίνης ἀντιποιουμένῳ. προτραπεὶς τοίνυν οὗτος ἀπολογήσασθαι προεβάλετο μὴ συμφωνηθῆναι τῇ Εὐφροσύνῃ τὸ εἰρημένον ἀμπέλιον, ἀλλὰ μᾶλλον τὸ οἴκημα, καὶ διατοῦτο ἐζητήθη κατὰ τὸ εἰκὸς ἐμφανισθῆναι παρὰ τῆς γυναικὸς τὸ προβὰν προικῷον σύμφωνον. ἐπεὶ δὲ ἔφθασε τοῦτο κλαπῆναι, ὡς διετείνετο, παρὰ τοῦ ἀδελφοῦ αὐτῆς, Νικήτα τοῦ Ἁλυάτου, ἦν δὲ ὁ Φιλομήτης ⟨± 6⟩ ὁ Καταστάτης, ἀνάδοχος ἀρχῆθεν καὶ προικοδότης καὶ ἀκριβῆ τῆς ὑποθέσεως ἔχων εἴδησιν, ἐρωτηθεὶς διεμαρτύρατο μετ᾽ ἀσφαλείας τῆς προσηκούσης, ὡς ταῖς ἀληθείαις τοιοῦτον ἀμπέλιον κατεγράφη | ἐν τῷ τῆς γυναικὸς συμφώνῳ καὶ οὐ τὸ οἴκημα, ἡ μετριότης ἡμῶν, ὡς τῶν φιλευσεβῶν νόμων δικαιούντων τὴν Εὐφροσύνην τὸ προικῷον ταύτης ἔχειν ἀμπέλιον μετὰ τοῦ παιδίου, ἐδικαίωσε ταύτην ἐπὶ τῇ μερίδι τοῦ καταγραφέντος ἀμπελίου, τῆς μοναχῆς Μαρίνης ὀφειλούσης ἐπιλαβέσθαι τοῦ ὀσπητίου καὶ κατέχειν τοῦτο δεσποτικῶς.

2 ἀνέφερεν MM || 5 Ἀϊτανᾶ] litt. τ ex α corr. V; difficulter legitur, lacunam indicaverunt MM; τα Ἰζηά legens τὰ Ἱερηά vel Ἱερειά proposuit Dar. Reg. 2409 („Texte") || 7 καὶ[1] om. MM || 9 post εἴδησιν vocem ἐν canc. V || 10 κατέσχε δὴ scripsimus cum MM, κατεσχέδη V; an κατεσχέθη legendum? || 20 ἐξητήθη MM || 22 Νικήτα] litt. η ex corr. V | post Φιλομήτης spatium ca. 6 litt. praebet V || 24 ὑποθέσεως] litt. ὑ ex corr. V || 25 ante τοιοῦτον vocem τὸ perperam suppl. MM

Es erschien vor unserem heiligen Synodalgericht Euphrosyne, die Tochter des Chytos, und brachte vor, daß sie mit Nikolaos, dem (Sohn des) Chalkeus, gesetzlich vermählt worden sei, wobei ihr Vermögen als Mitgift überschrieben worden sei, wieviel eben überschrieben worden sei. Es sei ihr aber auch ein in der Gegend Tu Aïtana gelegener Weingarten überschrieben worden, wie es in dem für sie ergangenen (Mitgift)vertrag enthalten sei. Sie habe auch eine Tochter geboren, welche von diesem (Sohn des) Chalkeus stamme, die auch noch lebe. Selbiger Mann habe nun, weil der Weingarten gemäß dem ersten (Mitgiftvertrag) nicht herausgegeben worden sei, anstatt dessen ein Gebäude in der Flur Tu Ephoru gegen den Willen und ohne das Wissen (seiner) Frau erhalten, das er aufgrund (einer Verfügung) seiner Schwägerin, der Nonne Marina, in Besitz genommen habe.

Selbige Euphrosyne erhob nun (gemeinsam) mit ihrem Kind Klage bezüglich der Mitgift und forderte den zu ihrer Mitgift gehörenden Weingarten zurück, da sie nicht im Besitz des Hauses sein wolle, das ja ihr Mann, wie gesagt, gegen ihren Willen erhalten habe. Daher forderte sie diesen Prozeß gegen Georgios mit dem Beinamen Phoster, ihren Schwager von Schwesterseite, der die Rechte der Nonne Marina wahrnimmt. Zur Rechtfertigung aufgefordert brachte dieser vor, daß nicht der erwähnte Weingarten, sondern vielmehr das Haus zugunsten der Euphrosyne (vertraglich) vereinbart worden sei. Daher wurde die Frau rechtens aufgefordert, den errichteten Mitgiftvertrag vorzulegen. Dieser sei nun, wie sie behauptete, von ihrem Bruder Niketas Alyates gestohlen worden. Es gab aber noch den Philometes ... Katastates, der zuerst Taufpate und (dann) Besteller der Mitgift gewesen sei, der genaue Kenntnis der Angelegenheit hatte. Jener wurde befragt, und er sagte mit der gebührenden Versicherung (unter Androhung der Exkommunikation) aus, daß im (Mitgift)vertrag der Frau tatsächlich der gegenständliche Weingarten und nicht das Gebäude überschrieben worden sei. Daher erkannte unsere Bescheidenheit der Euphrosyne das Recht bezüglich dieses (Mitgift)teils, (d. h.) des überschriebenen Weingartens, zu, da die frommen Gesetze sie zum Besitz ihres zur Mitgift gehörenden Weingartens (gemeinsam) mit ihrem Kind berechtigen, während die Nonne Marina das Haus erhalten und als Eigentümerin besitzen soll.

Ὅθεν καὶ κατ᾽ αὐτοὺς δὴ τοὺς νόμους ἐπιλήψεται ἡ ῥηθεῖσα Εὐφροσύνη τῆς καταγεγραμμένης καὶ συμφωνηθείσης αὐτῇ προικῴας μερίδος τοῦ ἀμπελίου κατὰ πᾶσαν δεσποτείαν καὶ κυριότητα μετὰ τοῦ παιδίου αὐτῆς καὶ ἔχειν ἐπαδείας ποιεῖν ἐπ᾽ αὐτῷ πάντα τὰ κατὰ γνώμην καὶ βούλησιν καὶ ὅσα παρὰ τῶν φιλευσεβῶν νόμων τοῖς γνησίοις δεσπόταις ἐπὶ τοῖς ἑαυτῶν ἐφεῖται ποιεῖν κτήμασί τε καὶ πράγμασιν.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ⟨...⟩.

Εἶχε διὰ πατριαρχικῆς καὶ θείας χειρὸς τό· *μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ιβ^{ης} †.*

36 an ἐφῆται legendum? || 37 initium solum formulae scripsit V || 38 ἰανουαρίῳ MM

217

Kallistos I. und die Synode bestätigen Manuel Pazykes das Eigentum an einem Weingarten.

V 47, f. 165^{r}—166^{r} — μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ιβ′ (Z. 107)
MM I 388—391 (Nr. 172) — Januar ⟨1359⟩
Besondere Verpflichtung der Mönche zu Eintracht (1—18). *Sorge des Patriarchen um Eintracht* (19—24). *Frühere Bemühungen der griechischen („rhomäischen") Mönche des Iberon-Klosters um Behebung der den Georgiern („Iberern") angelasteten Mißstände* (25—39). *Übertragung der Klosterführung an die griechischen Mönche durch den Protos des Heiligen Berges Arsenios* (40—48). *Übertragung der Hauptkirche und der Ämter des Abtes und des Ekklesiarches an die griechischen Mönche, der Nebenkirche an die Georgier und der übrigen Ämter an beide Gruppen gemeinsam durch den Protos Theodosios, Bestätigung durch den Kaiser Ioannes V. Palaiologos* (49—81). *Ersuchen der griechischen Mönche an den Patriarchen und die Synode um Bestätigung der getroffenen Regelung* (82—90). *Bestätigung des Statuts des Iberon-Klosters entsprechend der vom Protos Theodosios getroffenen Regelung durch Patriarch und Synode* (91—117). *Strafandrohung für Störer der Eintracht* (118—127). *Registrierungsvermerk* (128—130). *Unterschrift* (131—133).

198r † Ἕν τι καὶ τοῦτο τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων, φαίη ἂν ἅπας, ὅστις οὖν ὀρθὰς τοῖς πράγμασιν ἐξενηνοχέναι τὰς ψήφους εἰδώς, ὥστε τοὺς τὸν μονήρη βίον ἐπανῃρημένους καὶ Θεῷ προσανέχοντας καὶ κόσμον ἠρνημένους καὶ κοσμότητα ἐν γαλήνῃ διάγειν, τῶν λογισμῶν πάντα θόρυβον καὶ τύρβην ματαίαν καθάπαξ ἀπαναινομένους | καὶ τὴν ἀγάπην καὶ ὁμόνοιαν ὡς ἄμαχον ὅπλον κατὰ τοῦ ἐχθροῦ παραφέροντας, συνδεῖσθαι μετ᾿ ἀλλήλων τῷ συνδέσμῳ τοῦ πνεύματος καὶ εἰς μίαν συνάγεσθαι τὴν ἑνότητα δι᾿ αὐτοῦ καὶ μάλιστα, εἰ τύχοιεν οὗτοι σύστημα κοινοβίου ἀναπληροῦντες εἰς δόξαν καὶ ἔπαινον τοῦ πάντα καλῶς καὶ πανσόφως οἰκονομοῦντος Θεοῦ. εἰ γάρ, οὗ εἰσι δύο ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματι τούτου, μέσος πάρεστι αὐτὸς ὁ Θεός, οὗ εἰσι κατὰ τὸν ὅμοιον τρόπον πολλοὶ καὶ καθ᾿ ἡλικίαν διάφοροι, οὐκ αὐτὸς οὗτος, εἰς μέσον παραληφθείς, συνδεῖ καὶ συνάγει τὰς διανοίας αὐτῶν καὶ εἰς τὴν οὕτως τοῦ καλοῦ μίαν γνῶσιν ἑνοῖ; παντί που δῆλον καὶ γάρ, ὥσπερ τὰς πολλὰς καὶ διαφόρους γνώμας, ὡς ἔφημεν, ἡ ἀγάπη καὶ ἡ ὁμόνοια μίαν καὶ ἁπλῆν σχεδὸν ἀπεργάζεται, τὸν αὐτὸν δή που τρόπον καὶ ἡ στάσις καὶ τὸ τῆς γνώμης φιλόνεικον τὰ τέως ἡνωμένα κατατέμνει καὶ διασπᾷ καὶ κακῶς διαιρεῖ.

Ἐνθέντοι καὶ ἡμεῖς τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας προστασίαν ἐγκεχειρισμένοι παρὰ Θεοῦ διὰ φροντίδος ποιούμεθα τὸ ἐμμένειν ἐν τούτοις ἀπαραβάτως τοὺς ἐν ταῖς σεβασμίαις μοναῖς τῶν ἑκασταχοῦ χωρῶν τε καὶ πόλεων, ἔτι δὲ ὀρῶν ἀσκουμένους καὶ τὴν μοναχικὴν πολιτείαν ὁδεύοντας, πάντων ἐκ μέσου γεγονότων τῶν μεταξὺ σκανδάλων καὶ στάσεων.

Τῷ λόγῳ τῷδε σκοπός, ὡς πρό τινος ἤδη καιροῦ φθάνουσιν οἱ ἐν τῇ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω διακειμένῃ σεβασμίᾳ μονῇ τῶν Ἰβήρων ἀσκούμενοι μοναχοὶ κινήσαντες διενέξεις μετ᾿ ἀλλήλων περί τε τῆς καθολικῆς ἐκκλησίας τῆς τοιαύτης μονῆς καὶ περί τινων ἄλλων εἰς ἀταξίαν καὶ ἀκοσμίαν ἀφορώντων αὐτῆς, ὡς τῶν Ἰβήρων ἔκ τε τῆς συνήθους περὶ τὰ καλὰ ἀμελείας καὶ τῆς ὀλιγότητος τούτων καὶ ἀνεπιστημόνου ἐπιστασίας ἀντιποιουμένων μὲν τῆς καθόλου ἀρχῆς τῆς

10—11 Mt. 18, 20

3 ἐπανῃρημένους] litt. αν fortasse cancellatae sunt (sed cf. lin. 22 documenti 46 nostrae editionis) || 19 ante ἐκκλησίας litt. προ (e voce sequente προστασίαν) canc. V; pro προ litt. πισ legit (et del.) Lef. 139 || 22 ὀρῶν MM

Auch das gehört zu den äußerst gesetzeskonformen und gerechten Dingen, würde wohl ein jeder sagen, der die Dinge richtig zu beurteilen weiß, daß die, die das Leben in Einsamkeit auf sich genommen haben und Gott zugewandt sind, die der Welt und der Weltlichkeit abgesagt haben, in Ruhe leben, indem sie jede Verwirrung und eitlen Aufruhr der (weltlichen) Gedanken ein für allemal ablehnen und die Liebe und Eintracht als unschlagbare Waffe gegen den Feind führen, (daß diese also) miteinander durch das verbindende Band des Geistes verbunden sind und durch ihn zu einer Einheit geführt werden, vor allem, wenn diese eine koinobitische Gemeinschaft zum Ruhme und zum Lobe des alles gut und allweise lenkenden Gottes bilden. Wenn nämlich, wo zwei oder drei in seinem Namen versammelt sind, Gott selbst in deren Mitte zugegen ist, verbindet und vereinigt nicht dort, wo in ähnlicher Weise viele in unterschiedlichem Alter (versammelt) sind, derselbe in deren Mitte aufgenommen ihr Denken und vereint sie so zur einen Erkenntnis des Guten? Dies ist wohl jedem klar. Und wie nämlich die Liebe und Eintracht die vielen unterschiedlichen Meinungen, wie wir gesagt haben, fast zu einer einzigen macht, so trennt auf dieselbe Art Zwietracht und streitlustige Gesinnung das einstmals Geeinte und spaltet es und bringt es zum Übel auseinander.

Daher sorgen auch wir, denen die Leitung der ökumenischen Kirche von Gott übergeben wurde, daß diejenigen, die sich in den verehrungswürdigen Klöstern allerortens, in Stadt und Land und auch auf den Bergen, in Frömmigkeit üben und ein mönchisches Leben führen, unverrückbar an den (genannten Tugenden) festhalten und aller Streit und Zwietracht unter ihnen beseitigt werden.

Der Zweck dieser Worte ist folgender: Vor einiger Zeit schon waren die im verehrungswürdigen Kloster der Iberer am Heiligen Berg Athos in Frömmigkeit lebenden Mönche über die Hauptkirche dieses Klosters untereinander in Streit geraten und auch über andere Angelegenheiten, die (das Kloster) in völlige Unordnung führten, da die Iberer zwar die Gesamtleitung des Klosters und der genannten heiligen Kirche beanspruchten, aber aufgrund ihrer üblichen Nachlässigkeit bezüglich guter Verhältnisse, ihrer geringen Zahl und der unverständigen Führung in dem (Kloster) nichts zuwege

μονῆς καὶ τοῦ δηλωθέντος θείου ναοῦ, οὐδὲν μέντοι ἐχόντων ἱκανὸν ἐν αὐτῇ διαπράξασθαι, ἀλλ᾽ εἰς παντελῆ ἐρήμωσιν βουλομένων ταύτην ἀπαγαγεῖν διὰ τὸ κεκλῆσθαι τὴν μονὴν ταύτην τὸ κενὸν καὶ μάταιον ὄνομα τῆς τῶν Ἰβήρων προσηγορίας καὶ σφετεριζομένων ἐντεῦθεν καὶ τὴν καθολικὴν αὐτῆς ἐκκλησίαν· οὗ χάριν πολλαὶ καὶ διάφοροι ἐγεγόνεισαν συνάξεις καὶ ἐξετάσεις, ὥστε τὴν προσήκουσαν γενέσθαι κατάστασιν ἐπ᾽ αὐτῇ, αἰτησαμένων τοῦτο τῶν μοναχῶν Ῥωμαίων ἐπ᾽ ἀσφαλείᾳ καὶ συστάσει τῆς δηλωθείσης μονῆς.

Ἐνθέντοι καὶ τοῦ ὁσιωτάτου ἀνδρός, κῦρ Ἀρσενίου ἐκείνου, τοῦ εἰς πρῶτον ἀποτεταγμένου τοῦ Ἁγίου τούτου Ὄρους, ἐπιδημήσαντος τῇ | τοιαύτῃ μονῇ καὶ τὴν τῶν Ἰβήρων περὶ τὰ καλὰ ἀμέλειαν ἰδόντος καὶ τὴν λοιπὴν ἀπειρίαν αὐτῶν, ἣν περί τε τὴν ἐκκλησίαν καὶ τὰ λοιπὰ ἔθιμα τῆς μονῆς ἐδείκνυον, καὶ δείσαντος, μή ποτε καὶ τὸ ταύτης φρούριον εὐάλωτον γένηται τοῖς ἐχθροῖς τῇ πολλῇ ἀμελείᾳ, ἐξώσθησαν οὗτοι δὴ οἱ Ἴβηρες παντελῶς τῆς ἀρχῆς καὶ ἐπιστασίας τῆσδε τῆς μονῆς, καὶ ἀπεκατέστησαν οἱ μοναχοὶ Ῥωμαῖοι κατάρχειν τῶν ἐν αὐτῇ πάντων διακονημάτων.

Ἀντιποιουμένων δὲ καὶ ἔτι τῶν Ἰβήρων τῆς τοιαύτης ἀλογίστου φιλονεικίας, ἐπιδημήσαντος τῇ τοιαύτῃ μονῇ τοῦ ὁσιωτάτου πρώτου τοῦ ἀρτίως εἰς τὴν τοιαύτην προστασίαν εὑρισκομένου τιμιωτάτου ἐν ἱερομονάχοις καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Θεοδοσίου, ἔτι τε τῶν τιμιωτάτων ἱερομονάχων καὶ ἡγουμένων τῶν ἐκεῖσε σεβασμίων μονῶν καί τινων εὐλαβεστάτων καὶ τιμίων γερόντων, συμπαρόντων αὐτοῖς καὶ τῶν ἱερωτάτων μητροπολιτῶν, ὑπερτίμων, ἀγαπητῶν κατὰ Κύριον ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, τοῦ τε Τραϊανουπόλεως καὶ τοῦ Ἱερισσοῦ, ἔτι δὲ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Αἴνου ἐκεῖσε τότε εὑρεθέντος διάτινα χρείαν,
198v καὶ πολλῶν λόγων κινηθέντων παρ᾽ ἀμφοτέρων || τῶν μερῶν καὶ πολλῆς διασκέψεως γενομένης μετὰ τῆς προσηκούσης πνευματικῆς ἀκριβείας καὶ συντηρήσεως παρὰ τῶν εἰρημένων ἀξιοπίστων προσώπων, ἐτάχθη καὶ περιέστη ἐγγράφως, ἵνα κατέχηται καὶ ψάλληται ἡ καθολικὴ ἐκκλησία τῆς εἰρημένης μονῆς παρὰ τῶν μοναχῶν Ῥωμαίων, οὐ μόνον κατὰ ἀριθμὸν ὑπερεχόντων, ἀλλὰ καὶ εἰς πᾶν ἔργον πνευματικὸν μυρίῳ τῷ μέσῳ ὑπερνικώντων τοὺς Ἴβηρας καὶ ἱκανῶς ἐχόντων ἀποδιδόναι τῇ

---

45 ἐξώσθησαν] ἐξῶθησαν MM || 47 ἀπεκατέστησαν] ἀποκατέστησαν MM || 53 ἔτι] litt. ι e corr. V

bringen konnten, sondern es vollständig veröden lassen wollten, (nur) weil dieses Kloster die leere und eitle Bezeichnung „der Iberer" trägt; in der Folge nahmen sie auch die Hauptkirche des (Klosters) (unrechtmäßig) in Beschlag. Deswegen kam es zu vielen verschiedenen Versammlungen und Untersuchungen, damit das (Kloster) zur gehörigen Ordnung komme, worum die rhomäischen Mönche um der Sicherheit und des Bestandes des genannten Klosters willen gebeten hatten.

Als daher der heiligste Mann, der verstorbene Herr Arsenios, der das Amt des Protos dieses Heiligen Berges innehatte, dieses Kloster besuchte und die Nachlässigkeit der Iberer bezüglich der guten Verhältnisse und ihre übrige Unbedarftheit sah, die sie hinsichtlich der Kirche und der übrigen Bräuche des Klosters an den Tag legten, und befürchtete, daß durch die große Nachlässigkeit auch die Burg des Klosters eine leicht zu erobernde (Beute) für die Feinde werden könnte, wurden diese Iberer gänzlich von der Führung und Leitung dieses Klosters vertrieben und die rhomäischen Mönche in die Leitung aller Dienste in diesem Kloster eingesetzt.

Als die Iberer aber auch weiterhin an diesem unsinnigen Streit festhielten, begab sich der erst kurze Zeit im Amt des heiligsten Protos befindliche ehrwürdigste Priestermönch und im Heiligen Geist geliebte Sohn unserer Bescheidenheit, Herr Theodosios, in dieses Kloster zusammen mit den weiteren ehrwürdigsten Priestermönchen und Äbten der dort befindlichen verehrungswürdigen Klöster und einigen sehr frommen und ehrwürdigen Mönchen, wobei auch die im Herrn geliebten priesterlichen Mitbrüder unserer Bescheidenheit, die heiligsten Metropoliten und Hypertimoi von Traianupolis und Hierissos, und der heiligste Metropolit von Ainos, der sich damals aus anderem Anlaß dort befand, zugegen waren. Nachdem von beiden Seiten vieles zur Sprache gebracht worden war und die genannten glaubwürdigen Personen mit der angebrachten geistigen Genauigkeit und Vorsicht darüber gründlich beraten hatten, wurde beschlossen und schriftlich festgelegt, daß die Hauptkirche des genannten Klosters in den Händen der rhomäischen Mönche sein soll und diese in ihr singen sollen, da sie nicht nur an Zahl überlegen sind, sondern die Iberer auch in jedem geistigen Werk tausendfach übertreffen und weil sie imstande sind, diese

τοιαύτῃ ἐκκλησίᾳ τὴν πρέπουσαν μοναχοῖς ἀνδράσιν εὐκοσμίαν τε καὶ κατάστασιν, ἀρκουμένων τῶν μοναχῶν Ἰβήρων, εὐαριθμήτων ὄντων διὰ τὴν ὀλιγότητα αὐτῶν καὶ ἀνεπιστημόνων, ὡς εἴρηται, εἰς τὴν ἑτέραν τῆς μονῆς ἐκκλησίαν.

Πρὸς τούτοις διεγνώσθη καὶ ἀπετάχθη εἶναι τόν τε ἡγούμενον καὶ τὸν ἐκκλησιάρχην ἀπὸ τῶν ἐν αὐτῇ μοναχῶν Ῥωμαίων τοὺς προκριθέντας ἀξίους καὶ πρέποντας τοῖς τοιούτοις λειτουργήμασι, τὰς μέντοι τῶν ἄλλων διακονημάτων ἀρχὰς εἶναι κοινὰς καὶ Ἴβηρσι καὶ Ῥωμαίοις, φροντίζουσιν ἐπιμελῶς τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ ἐπιδόσεως τῆς τοιαύτης μονῆς, κατ᾽ ἐκλογὴν γινομένης τῆς ὑπηρεσίας τῶν τοιούτων διακονημάτων, καὶ μὴ ἀδοκιμάστως καί, ὡς ἔτυχεν, ἀπραγμόνως διακεῖσθαι τὰ τῆς μονῆς. ἐπὶ γοῦν τῇ τοιαύτῃ καταστάσει | καὶ διαγνώσει ἐπορίσαντο καὶ σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐπικυροῦν ἐκ παντὸς τρόπου τὴν τοιαύτην ἔγγραφον ἀποκατάστασιν διὰ τὴν ἐφ᾽ ἑξῆς ἀσφάλειαν καὶ ἀνενοχλησίαν τῆς σεβασμίας μονῆς.

Καταλαβόντες δὲ ἀρτίως εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον οἱ ῥηθέντες μοναχοὶ Ῥωμαῖοι καὶ ἀνενεγκόντες τὰ πραχθέντα, ὡς εἴρηται, ἐν τῇ κατ᾽ αὐτοὺς μονῇ καὶ ἅμα τὸ γεγονὸς γράμμα προβαλλόμενοι τὴν ἀναφορὰν τούτων πιστούμενον, ὑπογραφαῖς σεσημασμένον τῶν τε εἰρημένων ἱερωτάτων ἀρχιερέων καὶ τοῦ ὁσιωτάτου πρώτου, ἐδεήθησαν διὰ πλείονα τὴν εἰστοεξῆς ἀσφάλειαν καὶ ἀνενοχλησίαν τῆς τοιαύτης μονῆς καὶ ἑδραίαν καὶ ἀμετακίνητον κατάστασιν τῆς εἰρημένης ἐγγράφου πράξεως τυχεῖν ἐπὶ τούτῳ καὶ σιγιλλιώδους γράμματος αὐτῆς.

Ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις καὶ τῇ παρακλήσει αὐτῶν ὡς εὐλόγῳ προσσχοῦσα τὸ παρὸν ἐπορέγει αὐτοῖς σιγιλλιῶδες γράμμα, δι᾽ οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ἵνα ἔχῃ ἀπάρτι καὶ εἰστοεξῆς τὸ κῦρος καὶ ἀμετάτρεπτον ἡ γεγονυῖα ἔγγραφος ἐνυπόγραφος κατάστασις παρά τε τῶν ἱερωτάτων μητροπολιτῶν καὶ τοῦ ὁσιωτάτου πρώτου περὶ τῆς δηλωθείσης τῶν Ἰβήρων σεβασμίας μονῆς καὶ κατέχωσιν εἰστοεξῆς οἱ μοναχοὶ Ῥωμαῖοι τὴν καθολικὴν αὐτῆς ἐκκλησίαν καὶ

---

78 ἐπορίσατο MM || 93 προσχοῦσα V, MM

Kirche in den geordneten Zustand zurückzuführen, der sich für Mönche schickt. Die iberischen Mönche sollen sich aufgrund ihrer schon erwähnten geringen Zahl und dem Mangel an Verständnis ihrerseits mit der anderen Kirche des Klosters begnügen.

Außerdem wurde beschlossen und festgesetzt, daß der Abt und der Ekklesiarch rhomäische Mönche des Klosters sein sollen, die dieser Ämter würdig und dafür geeignet befunden wurden, die Leitung der übrigen Ämter aber Iberern und Rhomäern, die für das Gedeihen und den Bestand dieses Klosters geflissentlich sorgen, gemeinsam obliegen soll, wobei diese Ämter durch Wahl besetzt werden sollen, und die Angelegenheiten des Klosters sollen nicht ungeprüft und ohne Sorgfalt, wie es sich so traf, bleiben. Für diese Regelung (der Dinge) und die diesbezügliche Entscheidung erhielten (die Mönche) auch ein verehrungswürdiges Prostagma meines mächtigsten und heiligen Kaisers, das diese schriftliche Wiederherstellung der Ordnung zur künftigen Sicherheit und Ungestörtheit des verehrungswürdigen Klosters in jeglicher Hinsicht bestätigte.

Die erwähnten rhomäischen Mönche trafen jüngst bei unserer Bescheidenheit und der um sie versammelten göttlichen und heiligen Synode ein und berichteten, was sich, wie oben erwähnt, in ihrem Kloster zugetragen hatte; gleichzeitig legten sie auch die ergangene Urkunde vor, die ihren Bericht bestätigt und von den genannten heiligsten Erzpriestern und dem heiligsten Protos unterzeichnet ist, und baten in dieser Angelegenheit um eine patriarchale Urkunde in Form eines Sigillion zur größeren künftigen Sicherheit und Ungestörtheit des besagten Klosters und zum sicheren und unverrückbaren Bestand der erwähnten schriftlichen Vereinbarung.

Unsere Bescheidenheit beriet mit den um sie versammelten heiligsten Erzpriestern und Hypertimoi über diese Angelegenheit und nahm sich dieses Ansuchens als berechtigt an und gewährt ihnen (= den Mönchen) diese vorliegende Urkunde in Form eines Sigillion, durch die sie im Heiligen Geist anordnet, daß das errichtete und von den heiligsten Metropoliten und dem heiligsten Protos unterzeichnete urkundliche Statut bezüglich des genannten verehrungswürdigen Klosters der Iberer von nun an und in Zukunft unverrückbare Gültigkeit habe und in Zukunft die rhomäischen Mönche die Hauptkirche des Klosters innehaben und dort die heili-

ἐκτελῶσιν ἐν αὐτῇ τὰς ἱερὰς ὑμνῳδίας ὑπερευχόμενοι τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων καὶ παντὸς τοῦ χριστωνύμου καὶ ὀρθοδόξου πληρώματος καὶ ἔχῃ οὕτως ἡ δηλωθεῖσα ἐκκλησία τὴν ἁρμόζουσαν εὐκοσμίαν αὐτῆς καὶ κατάστασιν παρ' αὐτῶν δὴ τῶν μοναχῶν Ῥωμαίων, καὶ ἀριθμῷ καὶ τοῖς πνευματικοῖς προτερήμασι καταπολὺ διαφερόντων τῶν Ἰβήρων, οὗτοι δὲ οἱ Ἴβηρες κατέχωσι τὴν ἑτέραν ἐκκλησίαν τὴν εἰς ὄνομα τιμωμένην τῆς Θεομήτορος τῆς Πορτιατίσσης καὶ ἐκτελῶσι καὶ οὗτοι ἐν αὐτῇ τὰς ἱερὰς ὑμνῳδίας, ἐκλέγωνται δὲ ἀπὸ τῶν μοναχῶν Ῥωμαίων ἡγούμενός τε καὶ ἐκκλησιάρχης ἄξιοι τῆς τοιαύτης προστασίας, δυνάμενοι καὶ ἀμφότερα τὰ μέρη τῶν τοιούτων μοναχῶν καταρτίζειν εἰς ἑνότητα καὶ ἀγάπην πνευματικὴν καὶ διδάσκειν καὶ νουθετεῖν πάντας καὶ χειραγωγεῖν ἀπλανῶς εἰς τὴν τῆς σωτηρίας ὁδόν, εἰς δὲ τὰ *199r* ἕτερα διακονήματα οἱ χρησιμεύοντες || ἐξ ἀμφοτέρων τῶν μερῶν καὶ οὕτω ἐπικρατῇ ἐν αὐτοῖς φιλαδελφία καὶ ἀγάπη καὶ ἕνωσις, ὁ καρπὸς τοῦ ἀγαθοῦ πνεύματος, | μήτε τῶν Ῥωμαίων κατεξανισταμένων ὁπωσδήποτε καὶ διόχλου γινομένων τοῖς Ἴβηρσι, μήτε μὴν τῶν Ἰβήρων γονικότητος λόγον ἢ ἑτέρας οἱασδήτινος μετοχῆς πρόφασιν προβαλλομένων καὶ κατὰ τῶν Ῥωμαίων χωρούντων καὶ τὸ τῆς μονῆς σῶμα κακῶς διασπώντων, ὅπερ ὑφ' ἑνὶ καθηγεμόνι συνεδέθη, τῷ δεσπότῃ Χριστῷ.

Τὸν γὰρ μὴ οὕτω βουλόμενον διάγειν ἐν αὐτῇ, ἀλλὰ ταράττειν καὶ συγχέειν ἐπιχειροῦντα τοὺς ἐν τῇ διαληφθείσῃ μονῇ μοναχούς, εἴτε Ἴβηρα εἴτε δὴ καὶ Ῥωμαῖον, ἐξωθεῖσθαι τῆς μονῆς καὶ ἀποδιώκεσθαι ὡς ψωριῶν πρόβατον ἐν ἁγίῳ παρακελεύεται πνεύματι ἡ μετριότης ἡμῶν, ὡς ἂν μὴ μεταδῷ καὶ ἑτέροις ὡς λύμης τῆς ψυχοβλαβοῦς ταύτης νόσου. καὶ γοῦν ὀφείλει πραχθῆναι ἀμεταθέτως ἐν τῇ τοιαύτῃ μονῇ πᾶν, ὅσον περὶ τούτου συνοδικῶς διεγνώσθη καὶ ἀπεφάνθη· κατὰ γὰρ παντὸς τοῦ πειραθησομένου ὁπωσδήποτε ἀκυρῶσαι τὴν τοιαύτην συνοδικὴν διάγνωσιν καὶ βάρος φρικώδους ἀφορισμοῦ ἐπανατείνεται ἡ μετριότης ἡμῶν.

Ταῦτα ὡς ἐν παρασημειώσει ἀπὸ τοῦ παρασχεδίου ἐν τῷ παρόντι κωδικίῳ ἐγράφησαν, ἐπεγένοντο δὲ ὕστερον πλείονα ἐν τῷ γεγονότι σιγιλλίῳ, ἃ οὐκ ἔφθασαν τεθῆναι ἐνταῦθα †.

112—113 cf. Gal. 5, 22 || 116 σῶμα] cf. Eph. 1, 23 || 120—121 ἐξωθεῖσθαι usque ad ὡς ψωριῶν πρόβατον] cf. Anast. Sin., Quaest. LX (*PG* 89, 641 B 4—6) et supra, linn. 45—46 documenti 206 huius editionis

gen Gesänge mit Gebeten für meine mächtigsten und heiligen Kaiser und die gesamte orthodoxe Christenheit erklingen lassen sollen und daß die genannte Kirche so die ihr gebührende Ordnung von ebendiesen rhomäischen Mönchen erhält, da diese die Iberer sowohl an Zahl als auch an geistlichen Vorzügen bei weitem übertreffen. Die Iberer aber sollen die andere, der Gottesmutter Portiatissa geweihte Kirche haben und in ihr die heiligen Gesänge erklingen lassen. Weiters sollen zum Abt und Ekklesiarch aus der Mitte der rhomäischen Mönche Männer gewählt werden, die dieser Führungsämter würdig sind und beide Gruppen dieser Mönche zu Einigkeit und geistlicher Liebe bringen und alle lehren und unterweisen und ohne Irrtum auf dem Weg des Heils führen können. In die übrigen Ämter sollen aber dafür geeignete (Mönche) aus beiden Gruppen gewählt werden, und so soll unter ihnen brüderliche Zuneigung, Liebe und Einheit herrschen, die Frucht des guten Geistes, und weder sollen sich die Rhomäer in irgendeiner Weise empören und die Iberer bedrängen, noch auch die Iberer ererbte Ansprüche oder sonst einen Vorwand für irgendeine andere Beteiligung geltend machen und sich gegen die Rhomäer wenden und den unter einem Führer, Christus, dem Herrn, verbundenen Leib des Klosters in übler Weise spalten.

Unsere Bescheidenheit befiehlt im Heiligen Geist, daß, wer sich weigert, in der genannten Art und Weise in ihm (= dem Kloster) zu leben, und die im erwähnten Kloster (lebenden) Mönche in Aufruhr und Verwirrung zu stürzen versucht, sei er Iberer oder Rhomäer, wie ein räudiges Schaf aus dem Kloster vertrieben und verjagt werden soll, damit er keinen anderen mit dieser seelenschädigenden Krankheit wie mit einer Seuche ansteckt. Daher soll in diesem Kloster alles unverändert in die Wege geleitet werden, was von der Synode diesbezüglich beschlossen und erkannt wurde. Denn über jeden, der in irgendeiner Weise versuchen sollte, diese synodale Entscheidung außer Kraft zu setzen, verhängt unsere Bescheidenheit die schwere Strafe der furchterregenden Exkommunikation.

Dies wurde in Form eines Sitzungsprotokolles auf der Grundlage des Konzepts in das vorliegende Register eingetragen. Es kamen später noch weitere Punkte in dem ergangenen Sigillion dazu, die hier nicht festgehalten wurden.

119—120 εἴτε Ἴβηρα om. MM || 122 λύμης] λοίμης V || 125 παραθησομένου MM

† Εἶχε καὶ τὸ διὰ τιμίας πατριαρχικῆς χειρός· *Κάλλιστος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης †.*

131 χειρός] litt. o e corr. V

239

Kallistos I. informiert den Patriarchen von Antiocheia, Ignatios II., von der Absetzung des Abtes des Hodegon-Klosters, Ananias, wegen unsittlichen Lebenswandels und von der Einsetzung eines neuen Abtes.

V 47, f. 199r–v	⟨1361 oder 1362⟩[1]
MM I 379—382 (Nr. 169)	(vgl. γράφομεν…
PG 152, 1358—1360	καὶ δηλοποιοῦμεν [Z. 77],
DAR. Reg. 2397	πιττάκιον [Z. 1])

Erwähnte Urkunden und Gesetze:

a) mehrere Briefe des Patriarchen ⟨Kallistos I.⟩ an den Patriarchen ⟨Ignatios II.⟩ von Antiocheia (darunter DAR. Reg. 2415 = unten, Nr. 251) (γράμματα: Z. 11)

b) Zuweisung des Hodegon-Klosters in Konstantinopel als Unterkunft des Patriarchen von Antiocheia ⟨durch Kaiser Ioannes I. Tzimiskes (fehlt bei DÖ. Reg.) und durch den Patriarchen Polyeuktos von Konstantinopel von etwa Januar 970 (GRUM.-DAR., Reg. 796)[2]⟩ (vgl. πρὸ χρόνων ἤδη πολλῶν ἀπετάχθη [Z. 24] bzw. τὸ τῆς ἁγιωσύνης σου δίκαιον [Z. 78])

c) (analoge) Zuweisung anderer Klöster in Konstantinopel an die Patriarchen von Alexandreia und Jerusalem ⟨unbekannten Datums⟩ (vgl. ἐδόθη [Z. 29])

d) Vorrang des Patriarchen von Konstantinopel vor den übrigen Patriarchen ⟨wohl mit Bezug auf Kanon Nr. 28 des Konzils von Chalkedon (JOANNOU I/1, 90—93)⟩ (vgl. προνόμιον ἔκπαλαι κέκτηται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων [Z. 37—38])

e) Übertragung der Leitung des Hodegon-Klosters an Ananias, den Neffen des Metropoliten ⟨Arsenios⟩ von Tyros, durch den Patriarchen ⟨Ignatios II.⟩ von Antiocheia (vgl. ἐγχειρίσασθαι [Z. 53])

f) synodale Untersuchung der Vorfälle im Hodegon-Kloster und Absetzung des Ananias als Abt ⟨fehlt bei DAR. Reg.⟩ (vgl. ἐξέτασις [Z. 62]; vgl. jedoch PRK 265, 13—14, wo es mit Bezug auf Ananias ausdrücklich heißt: οὐκ ἐδέησε λοιπὸν γενέσθαι ἐξέτασίν τινα; ist im vorliegenden Fall die Angabe der Durchführung einer synodalen Untersuchung gegen Ananias nur eine Schutzbehauptung dem Patriarchen von Antiocheia gegenüber?)

[1] Vgl. zur Datierung KRESTEN, Antiocheia, bes. 72.
[2] Vgl. dazu KRESTEN, Antiocheia 17—18, A. 36.

Das Original hatte auch (die Unterschrift) von der ehrwürdigen Hand des Patriarchen: „Kallistos, durch Gottes Erbarmen Erzbischof von Konstantinopel, des Neuen Rom, und ökumenischer Patriarch".

239

Überschrift (1—2). *Vokativische Anrede des Empfängers* (3—5). *Wünsche für das Wohlbefinden des Empfängers* (6—8). *Frühere briefliche Kontakte des Patriarchen von Konstantinopel mit dem Patriarchen von Antiocheia bezüglich des Hesychastenstreites* (9—17). *Festhalten des Patriarchen von Konstantinopel an der Freundschaft trotz ausbleibender Stellungnahme des Patriarchen von Antiocheia* (18—23). *Kritik am Lebenswandel der Mönche in dem dem Patriarchen von Antiocheia in Konstantinopel überlassenen Hodegon-Kloster* (24—35). *Aufgrund seines umfassenden Aufsichtsrechtes Notwendigkeit des Einschreitens des Patriarchen von Konstantinopel gegen die unsittlichen Handlungen des Abtes des Hodegon-Klosters, Ananias* (36—59). *Absetzung des der Unzucht überführten Ananias und Einsetzung eines ehrenhaften neuen Abtes durch Patriarch und Kaiser* (60—76). *Versicherung der Wahrung der Rechte des Patriarchen von Antiocheia* (76—79). *Aufforderung an den Patriarchen von Antiocheia, das richtige Vorgehen des Patriarchen von Konstantinopel zu billigen* (80—86). *Schlußgruß* (87—88).

g) ⟨Synodalurkunde (?) des Patriarchen Kallistos I.; fehlt bei Dar. Reg.⟩: Einsetzung eines neuen Abtes des Hodegon-Klosters als Nachfolger des Ananias (vgl. ἀποκατέστησε ... ἡγούμενον [Z. 68—70])

h) Horismos des Kaisers ⟨Ioannes V. Palaiologos; fehlt bei Dö. Reg.⟩ betreffend die Einsetzung eines neuen Abtes für das Hodegon-Kloster (ὁρισμός: Z. 71).

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν πατριάρχην Ἀντιοχείας †

† Ἁγιώτατε πατριάρχα Θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος·

Πεποίθαμεν εἰς Θεόν, ὅπως καὶ τῆς σωματικῆς εὐεξίας ἐπαπολαύοι ἡ ἁγιωσύνη σου καὶ ἔχοι ἐπὶ πᾶσι καλῶς εἰς ὠφέλειαν καὶ ἐπίσκεψιν ψυχικὴν τοῦ ὑπ' αὐτὴν χριστωνύμου καὶ ὀρθοδόξου λαοῦ.

Ἡ μετριότης ἡμῶν τῷ νόμῳ τῆς πνευματικῆς ἀγάπης στοιχειουμένη καὶ τὴν τῆς ἐκκλησίας Θεοῦ ὁμόνοιαν περὶ πλείστου ἀεὶ ποιουμένη πολλάκις διὰ γραμμάτων αὐτῆς τὴν ἀνήκουσαν καὶ ὀφειλομένην προσ-|αγόρευσιν ἐποιήσατο πρὸς τὴν σὴν ἁγιότητα καὶ περὶ ἄλλων μὲν ἑτέρων, οὐχ ἧττον δὲ περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ τῆς παρεμπεσούσης, συγχωρήσει Θεοῦ, στάσεως καὶ ταραχῆς εἰς τὴν ἐκκλησίαν αὐτοῦ παρὰ τῶν ἐξ ἀλογίστου γνώμης τολμησάντων νόθα καὶ ἔκφυλα δόγματα παρεισαγαγεῖν ἐπὶ καινοτομίᾳ τῆς πατροπαραδότου ἡμῶν καὶ ὑγιοῦς πίστεως καὶ ταύτῃ διασπάσαι τὸ καλὸν σῶμα αὐτῆς.

Καὶ ἡ μὲν μετριότης ἡμῶν ὀφειλομένως τὸ ἑαυτῆς πεποίηκε, τὴν τῶν πολλῶν ζητοῦσα ὠφέλειαν, ἡ δὲ ἁγιωσύνη σου δηλῶσαι ἡμῖν διὰ γράμματος αὐτῆς, ὅπως ἔχῃς γνώμης εἰς τοῦτο, οὐκ ἐθέλησας· ὅπερ, εἰ τοῦ φιλικοῦ καθήκοντος καὶ τῆς ἀληθείας ἐξέχεται, ἔχεις καὶ αὐτὸς διακρῖναι. πλὴν ἡ μετριότης ἡμῶν καὶ οὕτω νόμους φιλίας εἰδυῖα τιμᾶν περιπολλοῦ ποιεῖται τὰ σὰ ἀδελφὰ ἐν ἅπασι φρονοῦσα.

19 δηλῶσαι scripsimus cum V et Matses VI 4—5, δηλῶσα MM || 23 περιπολλοῦ] sub litt. ριπο lin. ducta in V

Pittakion des Patriarchen (von Konstantinopel) an den Patriarchen von Antiocheia

Heiligster Patriarch der Gottesstadt, des großen Antiocheia, und des gesamten Ostens, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit!

Wir vertrauen auf Gott, daß Deine Heiligkeit sich körperlichen Wohlbefindens erfreut und es ihr in allem wohl ergeht, zum Nutzen und zur seelischen Fürsorge des ihr unterstehenden rechtgläubigen Christenvolks.

Unsere Bescheidenheit, die vom Gesetz der geistlichen Liebe erfüllt ist und der immer an der Einigkeit der Kirche Gottes besonders gelegen ist, hat sich oft in Briefen in gebührender und geschuldeter Weise an Deine Heiligkeit gewandt, auch in anderen Dingen, um nichts weniger aber in den kirchlichen Angelegenheiten, (nämlich) der mit Gottes Duldung über seine Kirche durch diejenigen hereingebrochenen Zwietracht und Aufruhr, die sich aufgrund unvernünftiger Gesinnung erfrechten, falsche und entartete Lehrmeinungen zum Verderben unseres von den Vätern übernommenen gesunden Glaubens einzuführen und so deren (= der Kirche) guten Körper zu spalten.

Unsere Bescheidenheit tat in gebührender Weise das Ihre, auf den Nutzen der Vielen bedacht. Deine Heiligkeit aber wollte uns nicht brieflich kundtun, welche Meinung Du dazu hast; das magst Du, wenn ihr (= Deiner Heiligkeit) an der Freundespflicht und der Wahrheit gelegen ist, auch selbst beurteilen. Jedoch weiß unsere Bescheidenheit auch so die Gesetze der Freundschaft zu ehren, und ihr, in allem brüderlich gesonnen, ist an Deinen Angelegenheiten überaus gelegen.

Οἶδεν ἡ ἁγιωσύνη σου, ὡς πρὸ χρόνων ἤδη πολλῶν ἀπετάχθη ἔχειν τὴν σὴν ἁγιωσύνην τὴν σεβασμίαν μονὴν τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένης τῶν Ὁδηγῶν ὡς πατριάρχην Ἀντιοχείας, καθὰ δὴ καὶ τοὺς πρὸ σοῦ ἑτέρους, εἰς κατάντημα καὶ ἀνάπαυσιν τῶν ἀπὸ τῶν αὐτόθι ἐρχομένων καλογήρων τῆς σῆς ἁγιωσύνης, ἀλλὰ δὴ καὶ αὐτῆς, ὁπηνίκα δεήσει ἐλθεῖν σε ἐνταῦθα, καθὼς δηλαδὴ ἐδόθη καὶ
199r τοῖς λοιποῖς ἁγιωτάτοις πατριάρχαις, τῷ τε Ἀλεξανδρείας καὶ τῷ || Ἱεροσολύμων, ἕτεραι τῶν ἐνταῦθα μονῶν. οὐ μέντοι ἐδόθησαν αἱ τοιαῦται, ὥστε καταυθεντεῖν τοὺς τῶν πατριαρχῶν μοναχοὺς τῶν εἰρημένων μονῶν καὶ πράττειν ἐν αὐταῖς κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, ἃ οὐ θέμις μὴ μόνον μοναχοῖς, ἀλλ' οὐδὲ λαϊκοῖς καὶ φαύλοις ἀνδράσι, τῆς ἡμῶν μετριότητος μὴ ἐχούσης ἄδειαν ἐρευνᾶν καὶ ἐξετάζειν τὰ τοιαῦτα.

Εἰ γὰρ ὁ τῆς Κωνσταντινουπόλεως πατριαρχικὸς θρόνος, ἅτε δὴ οἰκουμενικὸς ὤν, προνόμιον ἔκπαλαι κέκτηται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων εἰς τὰς ἑκασταχοῦ τῆς οἰκουμένης ἐκκλησίας τὰ παρεμπίπτοντα ἐν αὐταῖς ἐκκλησιαστικὰ ἀναγκαῖα ζητήματα διερευνᾶν καὶ ἐξετάζειν, πολλῷ μᾶλλον ἐνταῦθα ἐν τῇ οἰκείᾳ ταύτῃ μεγαλοπόλει, ἐν ᾗ ἐστήρικται κρίσει Θεοῦ καὶ ψήφῳ βασιλικῇ ὁ τοιοῦτος πατριαρχικὸς θρόνος. ἀλλ' ἡ μετριότης ἡμῶν καὶ οὕτω δικαίως τοῦ πράγματος ἔχοντος διὰ τὴν τῆς σῆς ἁγιότητος ἀγάπην πνευματικὴν καὶ φιλίαν ἔμενε σιωπῶσα ἐπιτοσοῦτον καὶ μηδεμίαν ἔρευναν ποιησαμένη ἐπὶ τῇ τοιαύτῃ μονῇ εἰς συντήρησιν καὶ ἀσφάλειαν ψυχικὴν τῶν ἐνασκουμένων αὐτῇ μοναχῶν, καίτοι γε προδήλου τοῦ πράγματος ὄντος, | ὡς οὐ κατὰ τὸ μοναχικὸν ἐπάγγελμα πολιτεύονται οἱ δοκοῦντες προέχειν τῶν ἄλλων ὡς δῆθεν μοναχοὶ καὶ ἱερωσύνης ἀναξίως ἐπειλημμένοι· καὶ πρό γε πάντων ὁ Ἀνανίας ὁ τοῦ Τύρου ἀνεψιὸς καὶ οἱ συμμύσται καὶ μυσταγωγοὶ τούτου, ὅστις καὶ τοῦ Τύρου ἐνταῦθα ἐπιδημοῦντος ἀδεῶς ἦν πράττων τὰ ἄτοπα καὶ τῶν θείων ἁπτόμενος καὶ ἱερουργῶν — ὢ δίκη καὶ νόμοι Θεοῦ· — ἀνερυθριάστως. ὡς δὲ ὁ Τύρου αὐτόθι ἐπιδημήσας πρὸς τὴν σὴν ἁγιότητα ἔπεισε ταύτῃ ἐγχειρίσασθαι τὴν ἡγουμενείαν τῆς ῥηθείσης σεβασμίας μονῆς τῷ δηλωθέντι Ἀνανίᾳ καὶ ἔλαβε ταύτην ἐπὶ καταστροφῇ τῆς οἰκείας ψυχῆς, ἀφροντιστήσας καθάπαξ καὶ ὅλως τοῦ

27 δὴ om. MM || 29 ἐδόθησαν MM || 34 μοναχοῖς] litt. μ ex α corr. V || 36 γὰρ] δ' MM || 43 ἔμενε] ἔμμενε V || 44 ἐπιτοσοῦτον] sub litt. ιτ lin. ducta in V || 53 ταύτῃ] ταύτην proposuit Matses VI 5 || 55 καθάπαξ] sub litt. απ lin. ducta in V

Deine Heiligkeit weiß, daß bereits vor vielen Jahren beschlossen wurde, daß Deine Heiligkeit als Patriarch von Antiocheia, wie dies auch bei Deinen Vorgängern der Fall war, das verehrungswürdige Kloster der überaus reinen Herrin und Gottesmutter mit dem Namen ton Hodegon zur Unterkunft und Erholung der Mönche Deiner Heiligkeit, die von dort (= Antiocheia) kommen, aber auch für sie selbst, wenn immer Du hierher kommen solltest, haben soll, wie nämlich auch den übrigen heiligsten Patriarchen, dem von Alexandreia und dem von Jerusalem, andere Klöster hier gegeben wurden. Diese (Klöster) wurden aber nicht gegeben, damit die Mönche der Patriarchen die Herrschaft über die besagten Klöster mißbrauchen und dort, da es gänzlich an einem fehlt, der sie daran hinderte, tun, was nicht nur Mönchen verboten ist, sondern auch Laien und verkommenen Menschen, wobei unsere Bescheidenheit keine Möglichkeit hat, dies zu untersuchen und zu prüfen.

Wenn nun der Thron des Patriarchen von Konstantinopel, da er der ökumenische ist, seit alters her durch die göttlichen und heiligen Kanones das Privileg innehat, in allen Kirchen der Ökumene, wo auch immer, die dort auftretenden notwendigen kirchlichen Fragen zu untersuchen und zu prüfen, (hat er dieses Recht) um so mehr hier in seiner eigenen Großstadt, in der dieser Thron des Patriarchen durch Gottes Urteil und kaiserliches Votum festen Sitz hat. Obwohl die Sache auch so rechtens gewesen wäre, schwieg unsere Bescheidenheit aus geistlicher Liebe und Freundschaft zu Deiner Heiligkeit über so lange Zeit und führte keine Untersuchung bezüglich dieses Klosters zur Bewahrung und Sicherung der Seelen der in ihm lebenden Mönche durch, obwohl die Tatsache offensichtlich war, daß die, die als angebliche Mönche und unwürdigerweise mit der Priesterwürde versehen vor den anderen Menschen zu stehen scheinen, nicht gemäß ihrem mönchischen Gelöbnis leben; vor allem ist es jener Ananias, der Neffe des (Metropoliten) von Tyros, und seine Komplizen und Ratgeber, der sogar, als der (Metropolit) von Tyros hier weilte, furchtlos Ungeheuerlichkeiten beging, während er das Heilige berührte und als Priester wirkte — oh Gerechtigkeit und Gesetze Gottes! —, ohne dabei zu erröten. Als nun der (Metropolit) von Tyros dort bei Deiner Heiligkeit weilte und sie dazu überredete, dem erwähnten Ananias die Abtswürde des erwähnten verehrungswürdigen Klosters zu übertragen und sie dieser zum Verderben seiner eigenen Seele empfing, begab sich dieser

κακοῦ γεγονὼς καὶ ἀτόπων καὶ βεβήλων ἀσωτειῶν ἐφαψάμενος ἀνέδην πόρνῃ γυναικὶ συνηυνάζετο ἐντὸς τοῦ κελλίου αὐτοῦ ἐφ' ὅλαις δηλαδὴ σχεδὸν ταῖς νυξὶ κατασωτευόμενος μετ' αὐτῆς, παράδειγμα κακίας τοῖς συμμύσταις τούτου προκείμενος.

Τοῦ γοῦν τοιούτου ἀτοπήματος ἐκδήλου παντάπασιν γεγονότος καὶ πάντων καταβοώντων καὶ ἀνομίαν τοῦτο δὴ τὸ πρᾶγμα ἀποκαλούντων ἡ μετριότης ἡμῶν ἐξετάσει δοῦσα τὸ πρᾶγμα, ὥς γε ἐχρῆν, εὗρε τοῦτον μιᾷ τῶν νυκτῶν συγκοιμώμενον καὶ συνευναζόμενον τῇ δηλωθείσῃ πόρνῃ, καὶ οὕτως ἑάλω ὁ τρισάθλιος ἐπαυτοφώρῳ τὸ τῆς πορνείας αἶσχος διαπραττόμενος. ἐξήλασεν οὖν τοῦτον διαταῦτα τῆς ἡγουμενείας, ἐπείπερ οὐ μόνον αἴτιος ἑαυτῷ γέγονε τῆς τοιαύτης κακίας, ἀλλὰ καὶ ἑτέροις μετέδωκε τῆς οἰκείας λύμης καὶ ψυχικῆς ἀπωλείας, σπήλαιον λῃστῶν τὴν μονὴν ἐργασάμενος· ἀποκατέστησε δὲ διὰ συντήρησιν μὲν καὶ ἀσφάλειαν τῶν ἐν αὐτῇ μοναχῶν, ἀναστολὴν δὲ καὶ ἀναχαίτισιν τῆς τοῦ κακοῦ συνηθείας ἡγούμενον ἐν αὐτῇ ἄνδρα τίμιον καὶ εὐλαβῆ καὶ ἐνάρετον ὁρισμῷ καὶ εὐδοκίᾳ βασιλικῇ, ὅστις ὑπὸ τῆς ἐνούσης αὐτῷ ἀρετῆς καὶ τοῦ χρηστοῦ τρόπου καὶ τῆς εἰς τὰ πνευματικὰ ἐπιστήμης δύναται, βοηθείᾳ μὲν Θεοῦ, ἀντιλήψει δὲ καὶ τῆς ὑπεράγνου δεσποίνης καὶ Θεομήτορος, τὴν μονὴν εἰς τὸ κρεῖττον καὶ βέλτιον προάξειν, τοὺς δὲ ἐν αὐτῇ μοναχοὺς μετασκευάσασθαι καὶ μεταπεῖσαι πρὸς ἀρετὴν καὶ εὐλάβειαν· πλὴν καὶ οὕτω τοῦ πράγματος ἔχοντος καὶ τῶν κατὰ τὴν μονὴν τὴν διόρθωσιν λαβόντων, ὃν γράφομεν τρόπον καὶ δηλοποιοῦμεν ὑμῖν καὶ αὖθις, τὸ τῆς ἁγιωσύνης σου δίκαιον συνετηρήθη καὶ περισώζεται, καὶ ἡ μονή ἐστιν ὑπὸ τὴν σὴν ἁγιότητα ὡς καὶ πρότερον ἀπαραποιήτως.

Ἔκρινεν οὖν δίκαιον ἡ μετριότης ἡμῶν παραδηλῶσαι ταῦτα καὶ πρὸς τὴν σὴν | ἁγιότητα, ὡς ἂν γινώσκῃς τὸ πρᾶγμα ὡς ἐγένετο, μήποτε

67 σπήλαιον λῃστῶν] cf. Mc. 11, 17 vel Lc. 19, 46

56 ἀνέδην] ἀναίδην V, MM || 69 δὲ ex κ corr. V || 70 ἐν αὐτῇ supra lin. scripsit V || 72 τοῦ Χριστοῦ MM || 74 Θεομήτορος] litt. ϑ ex μ corr. V | δὲ] δ' MM ||

(= Ananias) völlig seines Verstandes und verschrieb sich vollkommen dem Bösen und machte sich an ungeheuerliche und niedrige Ausschweifungen: Er wohnte ungehemmt einer Hure in seiner Zelle bei und verkehrte fast jede Nacht in zügelloser Weise mit ihr, wodurch er seinen Komplizen ein Muster der Schlechtigkeit war.

Als diese Ungeheuerlichkeit vollkommen offenbar wurde und alle dagegen schrien und diese Sache einen Gesetzesbruch nannten, unterzog unsere Bescheidenheit die Sache einer Prüfung, wie es notwendig war, und stellte eines Nachts fest, daß dieser mit der erwähnten Hure schlief und das Lager teilte, und so wurde der Elende auf frischer Tat dabei betreten, wie er die Schande der Hurerei beging. (Unsere Bescheidenheit) vertrieb ihn also aus diesem Grund aus dem Amt des Abtes, weil er nicht nur sich selbst dieses Übel verursacht hatte, sondern auch andere mit seinem eigenen Verderben und dem Untergang der Seele angesteckt und das Kloster zu einer Räuberhöhle gemacht hatte. (Unsere Bescheidenheit) setzte einerseits zur Bewahrung und Sicherung der hier lebenden Mönche, andererseits zur Eindämmung und Beschränkung des zur Gewohnheit gewordenen Übels auf Befehl des Kaisers und mit dessen Wohlwollen als Abt hier einen ehrenhaften, frommen und tugendhaften Mann ein, der aufgrund der ihm innewohnenden Tugend, seines guten Charakters und seines Wissens in geistlichen Angelegenheiten mit Gottes Hilfe und mit der Unterstützung der überaus reinen Herrin und Gottesmutter das Kloster zu Besserem zu führen sowie die darin lebenden Mönche umzuwandeln und zu Tugend und Frömmigkeit zu bekehren vermag. Wenngleich sich die Sache so verhält und die Angelegenheiten des Klosters eine Korrektur erfahren haben, wie wir hier schreiben und Euch erneut kundtun, bleibt jedoch das Recht Deiner Heiligkeit gewahrt und geschützt, und das Kloster untersteht Deiner Heiligkeit in unveränderter Art so wie früher.

Unsere Bescheidenheit erachtete es nun für gerecht, dies auch Deiner Heiligkeit mitzuteilen, damit Du weißt, wie sich die Sache

76—79 πλὴν—ἀπαραποιήτως in marg. sinistra scripsit V || 77 ἐγράφομεν MM; hunc errorem secutus Darrouzès perperam epistulam priorem patriarchae Callisti ad patriarcham Antiochiae directam contendit (Reg. 2391) || 78 σου om. MM

ἄλλως ἀκουσθὲν θορυβήσῃ τὴν σὴν ἁγιότητα· καὶ γάρ, ὅπερ ἔμελλε ποιήσειν ἡ ἁγιωσύνη σου χάριτι Θεοῦ ἐπὶ τοιούτοις ἀθέσμοις πράγμασι γνωσθεῖσιν ἀριδηλότατα, αὐτὸ τοῦτο πεποίηκε καὶ ἡ μετριότης ἡμῶν, καὶ χρεών ἐστι τὴν σὴν ἁγιότητα ὑπεραποδέξασθαι τοῦτο ὡς θεοφιλὲς καὶ πνευματικὸν ἔργον.

Ἔρρωσο, ἁγιώτατε δέσποτα, ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος †. ||

---

88 post f. 199 duo folia abscissa sunt in V

240

Die dem Exarchen Ioannes Petriotes unterstehenden Kleriker nehmen die Ermahnung des Patriarchen Kallistos I. an („Exarchenliste VIII").

V 47, f. 200^r—203^r (autographe Unterschriften) ⟨Dezember 1357⟩
(vgl. MM I 369, Z. 17—21 [Nr. 167/1], und
373, Z. 5—33 [Nr. 167/2]; reine Namenliste)
(vgl. Dar. Reg. 2402)

ed. Hunger, Exarchenlisten 447—448 (Namenliste) (im folgenden im Apparat Hung.)

Erwähnte Urkunden und Gesetze:

a) Ermahnung des Patriarchen ⟨Kallistos I.; Dezember 1357; Dar. Reg. 2402 = oben, Nr. 221⟩ an die Priester in Konstantinopel zu sittlichem Lebenswandel (vgl. διὰ τῆς παρούσης αὐτοῦ διδασκαλίας [Z. 3] bzw. διὰ διαφόρων εἰσηγήσεων [Z. 97])
b) Register ⟨des Patriarchats von Konstantinopel⟩ (ἱερὸν κωδίκιον: Z. 96)
c) (diverse) Ehefähigkeitszeugnis(se) (βούλλα: Z. 102)
d) (diverse) Testamente mit Legaten zugunsten der Großen Kirche ⟨von Konstantinopel⟩ (vgl. τὰ καταλειπόμενα παρὰ τῶν διατιθεμένων φιλοχρίστων λεγάτα [Z. 105—106]).

200^r *† Στέργομεν καὶ ἐμμένομεν ἅπαντες ἐξόλης ψυχῆς καὶ διανοίας, εἰς ὅσον παραινεῖ πρὸς ἡμᾶς ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης διὰ τῆς παρούσης αὐτοῦ διδασκαλίας, καὶ ὑπισχνού-*

zugetragen hat, damit sie Dir nicht anders zu Ohren kommt und so Deine Heiligkeit beunruhigt. Denn was Deine Heiligkeit bezüglich der besagten gesetzwidrigen Dinge, die ganz klar erkannt wurden, mit Gottes Gnade getan hätte, ebendies hat auch unsere Bescheidenheit getan, und Deine Heiligkeit soll dies als ein frommes und geistliches Werk überaus gutheißen.

Lebe wohl, heiligster Herr, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit.

240

Gemeinsame Annahmeerklärung des Exarchen Ioannes Petriotes und der ihm unterstehenden Kleriker (1—5). *Persönliche Annahmeerklärungen und Unterschriften des Exarchen und ihm unterstehender 51 Kleriker* (6—128) *einschließlich der besonderen Erklärung des Priesters Konstantinos Strongylos* (95—109).

Mit ganzer Seele und ganzem Verstand nehmen wir alle an und halten an dem fest, wozu uns unser hochheiligster Herr und ökumenischer Patriarch durch seine vorliegende Belehrung ermahnt, und

---

1—5 declaratio forsitan manu Iohannis Petriotae scripta est || 1 στέργωμεν V | ἅπαντες V || 2 παρενεῖ V || 3 παροῦσης V || 3—4 ὑπισχνοῦμεθα V

μεθα φυλάττειν ταῦτα ἀπαρεγχείρητα· εἰ δ᾽ οὖν, ἵνα ὦμεν γεγυμνωμένοι πάσης ἱερωσύνης †.

|(7) *† Ὁ ἔκδϊκος (και) κατηχητ(ὴς) τ(ῆς) ἁγϊωτ(ά)τ(ης) τοῦ Θ(εο)ῦ Μεγ(ά)λ(ης) Ἐκκλη(σί)(ας), ἔξαρχ(ος)* |(8) *(και) ταβουλλαρι(ος) Ϊω(άνν)(ης) ὁ Πετριώτ(ης) τα ὅρϊσθέντ(α) (και) ἀποφανθέντ(α)* |(9) *στέργων ὑπ(έ)γ(ραψα) †.*

|(10) *† Ὁ εὐτελὴς ἵερεὺς Ἰω(άννης) ὁ Θεολογΐτης τὰ ρηθ(έν)τα καὶ ἀπὸφανθ(εν)τα* |(11) *στεργ(ων) ὕπεγραψα †.*

|(12) *† Γεοργιος ἱερευ ταριθεντα κ(αι) αποφανθεντα στεργ[ων] υπ(έ)γ(ραψα).*

|(13) *† Μανουὴλ ἵερεῦ(ς) ὁ Σὴναδηνός ταῥειθ(εν)τα κ(αι) ἀποφανθ(εν)τα στἔργῦν υπ(έ)γ(ραψα).*

|(14) *† Ὁ εὐτελὴς ἵἔυρὲς Ἴω(άν)νης ὁ τοῦ Δϊακόνου τὰ ῥησθέντα (καὶ) ἀπόφαθέντα στέργων υπ[έγραψα].*

|(15) *† Ὁ ἔκδϊκος (και) κατ(η)χ(η)ττ(ὴς) τ(ῆς) ἁγϊωτ(ά)τ(ης) τοῦ Θ(εο)ῦ Μ(ε)γ(ά)λ(ης) Ἐκκλ(ησί)(ας) Νϊκόλαος* |(16) *ὁ Σοφὸς τὰ οῤϊσθέντα (καὶ) ἀποφανθέντα στεργών ὑπ(έ)γ(ραψα) †.*

|(17) *† Ὁ ἐν δϊακὂνης ἐλᾰχηστος καὶ κληρϊκὸς τῆς ἀγϊωτᾰτης τοῦ Θ(εο)ῦ Μεγάλης Ἐκκλησΐ(ας)* |(18) *Γεὤργϊος ὁ Πανορμηνὸς ταορησθέντα καὶ ἀποφανθέντ(α) στέργων ὑπ(έ)γ(ραψα) †.* ||

200ᵛ (19) *† Ὁ εὐτελὴς ἵερες Ἀντώνϊος τὰ οῤησθέντα (καὶ) ἀποφανθέντα στέργ(ων) ὕπ(έ)γ(ρα)ψα †.*

|(20) *† Ὁ εὐτελὴς ἵερεὺς καὶ κληρικὸς τῆς σἀγϊωτάτης τοῦ Θ(εο)ῦ Μεγάλ(ης)* |(21) *Ἐκκλησΐας Ἀνδρόνϊκος ὁ Καλοείδης τὰ οῤησθἔντα καὶ ἀπόφᾰνθεντ(α) στέργ(ων) ὑπ(έγ)ρ(αψα) †.*

|(22) *† Ὁ εὐτελῆς ἱἐρεὺς Κωνστ(α)ν(τίνος) ὁ Μόσχο(ς) ταορησθέντ(α) καὶ ἀποφανθέντ(α) στέργ(ων) ὑπέγραψα †.*

|(23) *† Ὁ εὐτελῆς ἵερεὺς Κωνστ(αν)τ(ΐνος) ὁ Ἀλούπειτῆς τὰ ῥησθέντα κ(αὶ) ἀπόφανθ(έν)τ(α) στέργ(ων) ὑπ(έ)γ(ραψα) †.*

|(24) *† Ὁ εὐτελῆς ϊέρεὺ Νϊκόλαος ὁ Γαλΐνος τὰ ρησθέντ(α) (καὶ) ἀπὸφανθέντα στέργ(ων) ὑπ(έ)γ(ραψα) †.*

4 ἀπαρεγχύριτα V, litt. α ex ε corr. V | ἰδοῦν V | ὦμεν V | γεγυμνωμένει V || 5 πᾶσης V || 8 Πελειώτης MM | ὅρϊσθέντ(α)] litt. ὅ supra lin., litt. ρ ex ο et litt. ϊ ex η corr. (ὅησθέντα!) V || 12 om. MM || 14 id est Συναδηνός || 17 ἀπόφαθέντα] litt. φα supra lin. suppl. V || 18 ἀγϊωτ(ά)τ(ης)] litt. ϊ ex α corr. V | τοῦ] compendium ου ex ης corr. V || 19 om. MM || 19—20 ορϊσθέντα] litt. ο postea inseruit V || 21 κληρϊκὸς] litt. ι ex η corr. V | ἀγϊωτᾰτης] litt. ι ex η corr. V || 22 Γεὤργϊος]

versprechen, dies unverbrüchlich zu bewahren. Andernfalls mögen wir jeglichen Priesteramtes entkleidet sein.

Ich, der Ekdikos und Katechetes der heiligsten Großen Kirche Gottes, Exarch und Tabullarios, Ioannes Petriotes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Ioannes Theologites, habe das Gesagte und die Entscheidungen bekräftigend unterschrieben.

Ich, der Priester Georgios, habe das Gesagte und die Entscheidungen bekräftigend unterschrieben.

Ich, der Priester Manuel Synadenos, habe das Gesagte und die Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Ioannes, der Sohn des Diakonos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der Ekdikos und Katechetes der heiligsten Großen Kirche Gottes Nikolaos Sophos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der niedrigste unter den Diakonen und Kleriker der heiligsten Großen Kirche Gottes Georgios Panormenos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Antonios, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester und Kleriker der heiligsten Großen Kirche Gottes Andronikos Kaloeides, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Moschos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Alupeites, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Nikolaos Galenos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

litt. ω ex ρ corr. V, ι ex η corr. V || 22—23 ταορησθέντα] litt. ο postea supra lin. inseruit V (cf. linn. 8, 24, 27—28 et 29—30) || 24 om. MM | ορησθέντα] litt. ο postea suppl. V || 27 ἐκκλησΐας] litt. κ² supra lin. V || 27—28 ορησθἔντα] litt. ο postea suppl. V || 29—30 ταορησθέντ(α)] litt. ο supra lin. suppl. V || 33 id est Γαληνός

|(25) † Ὁ εὐτὲλὴς ἱ̓ερεῦς Θεόδωρος ὁ Ρ(ἐν)τὸς τὰ ορῆσθέντα (και) ἀπὸφἀνθ(έν)τ(α) στέργ(ων) ὑπ(έ)γ(ραψα) †.

|(26) † Ὁ εὐτελὴς ἱ̓ερὲς Μανου(ὴ)λ ὁ Κἀλοείδῆς τὰ ῥησθέντὰ καὶ ἀποφανθέντ(α) στέργων υπ(έ)γ(ραψα) †.

|(27) † Ὁ ευτελὴς ἱ̓ερε(ὺς) Γεώργ(ιος) ὁ Χρισὸ(ς) ταῤησθέντα και ἀπὸφανθ(έν)τα στέργων υπ(έγραψα).

|(28) † Ὁ εὐτελὴς ἱερεὺς Μαννουὴλ ὁ Νϊκηφορῖτϊς τὰ ῥησθέντα καὶ ἀπὸφαντ(α) στέργων ὑπ(έ)γ(ράψα) †.

|(29) † Ο ευτελὴς ἱερευς Νικολαος ο Καλογινος ταρησθεντα |(30) και αποφανθεντα στεργον υπ(ε)γ(ραψα) †.

|(31) † Ὁ εὐτελῆς ἱ̓ερε̃ς Ρωμανὸς ταραιθέντα καὶ αποφανθέντα στέργον ὑπ(έ)γ(ραψα) †.

|(32) † Ὁ εὐτελ(ὴ)ς ἱ̓ερε(ὺς) καὶ ἐν ταβουλλαρίοις ἐλάχιστος ταρηθέντ(α) (και) ἀποφανθ(έν)τα στέργων ὕπ(έ)γ(ραψα).

|(33) † Ὁ εὐτελὴς ἱερεὺς Ἀνδρέ(ας) ὁ Λαμπηνὸς τὰ ρησθέντα καὶ ἀπο|(34)φανθέντα στέργων ὑπέγραψα †.

|(35) † Ὁ εὐτελῆς Ἴω(άνν)ης ἱ̓ερε(ὺς) ὁ Μαυρόπουλος ταρησθέντα κ(αὶ) ἀπὸφανθέντα στέργων ὑπ(έ)γ(ραψα). ||

201r (36) † Ὁ ευτελης ἱερεὺς Γεῶργϊος ὁ Συναδϊνὸς |(37) ταρϊσθέντα (καὶ) αποφανθέντα στέργων ὑπεγρ(αψα) †.

|(38) † Ο εὐτέλὺς ηερὲς Μυχἀῆλ ταορῦσθέντα (καὶ) απογφαν-|(39)θέντα στέργον υπέγραψε †.

|(40) † Ὁ ἔκδϊκος (καὶ) κατηχ(ητ)(ὴς) τῆς ἁγϊωτ(άτ)(ης) Μεγάλης τοῦ Θ(εο)ῦ Ἐκκλη(σί)(ας) (καὶ) ταβουλλάρϊος |(41) ὁ Σπαρτηνὸς τὰ ῥισθέντα (καὶ) ἀπὸφανθέντα στέργων ὑπ(έ)γρ(αψα) [†].

|(42) † Ὁ ευτελῆς ἱ̓ερεὺς Θεόδωρος καὶ κλ(ηρ)(ικ)ὸ(ς) ὁ Ἰαλέας ταρϊσθέντα καὶ ἀποφανθέντα |(43) στέργων υπ(έ)γ(ραψα).

|(44) † Ὁ ευτελὴς ἱερεὺς και ταβουλλάρ(ϊος) Νϊκόλ(αος) ὁ Καθαρὸ(ς) ταρίσθέντα καὶ ἀποφανθέντ(α) στέργ(ων) υπ(έ)γ(ραψα).

|(45) † Ὁ ευτελὴς ἱερὲς Κώνσταν(τι)νο(ς) ὁ Πανὰγϊώτ(ης) τᾶ ὀρησθέντ(ὰ) καὶ απῶφανθ(εν)τ(ὰ) στέργ(ων) ὑπ(έ)γ(ραψα).

35 εὐτὲλὴς] litt. ε² ex αι corr. V | ἱ̓ερεῦς] litt. ε¹ ex αι corr. V | post Θεόδωρος litt. ιαί canc. V | ορῆσθἔντα] litt. ο supra lin. suppl. V || 39 id est Χρυσός || 41 Μαννουὴλ] litt. ν¹ supra lin. suppl. V | id est Νικηφορίτζης || 43 Νικολαος] litt. κ ex χ corr. V | Καλογινος] litt. ο ex α corr. V || 45 om. MM | ταραιθέντα] litt. αι supra lin. suppl. V || 47 ταβουλλαρίοις] litt. οις supra lin. V; presbyter nomen suum scribere

Ich, der geringe Priester Theodoros Rhentos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Manuel Kaloeides, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Georgios Chrysos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Manuel Nikephoritzes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Nikolaos Kaloginos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Romanos, habe das Gesagte und die Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester und niedrigste unter den Tabullarioi, habe das Gesagte und die Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Andreas Lampenos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Johannes Mauropulos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Georgios Synadenos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Michael, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der Ekdikos und Katechetes der heiligsten Großen Kirche Gottes und Tabullarios Spartenos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester und Kleriker Theodoros Hyaleas, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester und Tabullarios Nikolaos Katharos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Panagiotes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

oblitus est; om. MM || 49 ρησθέντα] litt. σθ supra lin. pro litt. στ suppl. (litt. falsis non deletis!) V || 53 id est Συναδηνός || 55 om. MM | id est Μιχαήλ || 55—56 απογφανθέντα] litt. γ delere conatus est V || 56 στέργον] litt. ε postea suppl. V || 60 καὶ κληρικὸς Θεόδωρος Hung.; καὶ κλ(ηρ)(ικ)ὸ(ς) supra lin. suppl. V | id est Ὑαλέας

|[46] † *Ο ετεῖλες ιερευς Διμητρηος του Κη*|[47]*πουρου τα ορησθεντα και αποφαν*|[48]*θεντα στεργονε υπ(έγραψα)* †.

|[49] † *Ὁ εὐτελὴς ἱέρεύς Μιχαὴλ ὁ ἀπὸ τοῦ οἰκονομίου* |[50] *τὰ ὁρϊσθέντα καὶ ἀποφανθεντα στέργων ὑπέγραψ(α)* †. ||

201v [51] † *Ὁ εὐτελὴς ἵἐρεὺς Γεῶργιος ὁ Μαρἵνος τὰ ὁρϊσθέντ(α) (καὶ) ἀποφα(ν)θ(έν)τ(α) στέργ(ων) ὑπ(έγραψα)* †.

|[52] † *Ὁ εὐτελὴς ιερεὺς Κώνστάντεἵνος ο Μΰρσεινήοτεις στέργ(ων) ὑπ(έγραψα)* †.

|[53] † *Ὁ εὐτελὴς ιερεὺς Θεόδορός ὁ Κοῦνοὕπὴς τα ὁρϊ*|[54]*σθέντὰ κ(αὶ) ἀποφὰνθέντ(α) στέργῶν ὕπέγραψα* †.

|[55] † *Ο ευτελῆς ιερευς Κῶνστ(αντῖνος) ο Κήνηγος ταο*|[56]*ρϊσθέτα κεαποφανθέντα στέργ(ων) υπ(έγ)ρ(αψα)* †.

|[57] † *Ο εὐτελὴς ϊέρευς Νικόλαος ὁ Σηδερὰς τα*|[58]*ορισθέντα κ(αὶ) ἀποφανθέντα στέργων ϋπεγρὰψα* †.

|[59] † *Ὁ εὐτελ(ὴς) ἵἐρε(ὺς) καὶ κληρϊκὸς τ(ῆς) ἀγϊωτάττ(ης) τοῦ* |[60] *Θ(εο)ῦ Μεγάλ(ης) Ἐκκλλερσἵ(ας) Μιχαὴλ ὁ Γεμηστός τὰ ὁ*|[61]*ρϊσθέντα κ(αὶ) ἀπὸφανθέντα στέργων ὑπ(έγ)ρ(αψα)* †.

|[62] † *Ὄ εὐτελεῖς ἱέρεῦς Νικολ(αος) ο Μανικαΐτῆς* |[63] *ταορϊσθέντ(α) (και) ἀπὸφανθέντ(α) στέργ(ων) υπ(έ)γρ(αψα)*. ||

202r [64] † *Ὀ ἵἐν ἵἐρομονάχ(οις) Μεθόδιος ταρησθέντα καὶ ἀποφαν*|[65]*θέντ(α) στέργων υπ(έ)γ(ραψα)* †.

|[66] † *Ὁ εὐτελὴς ἱερευς Γεοργηος ο Φηλης* |[67] *ταορησθεντα καὶ ἀποφαθέντα στέργ(ων) υπ(έ)γ(ραψα)* †.

|[68] † *Ἱέρεὺς Νϊκόλ(αος) ἁμαρτωλὸς τά ὁρϊσθέντα* |[69] *καὶ ἀποφανθέντα στέργων ὑπ(έγ)ρ(αψα)* †.

|[70] † *Ὀ εὐτελεις ηέρεῦς Μηχάηλ ὤ του Δεἵἄκὸνοῦ τα ὅρει*|[71]*στέντᾶ καὶ ἄποφἀνθεντᾶ στέργον υπ(έγ)ρ(αψα)*.

|[72] † *Ο ευτελεὶς ιερεὺς Ανδρονίκος ο Πατρικο*|[73]*λεοντίτης ταορισθέντα καὶ αποφανθεντα* |[74] *στέργον υπ(έ)γ(ραψα)*. ||

202v [75]† *Ὁ εὐτελής ἵερεύς Κωνσταντἵνος ὁ Στρογγύλος τὰ ἀποφανθέ(ν)τ(α) (και) ὅσα* |[76] *δϊὰλαμβάνει τὸ παρ(ὸν) ἵερὸν κοδἵκοιον*

66 τουκηπουρου V (cognomen [verisimile patronymicum] Demetrius presbyter sine spatio [ut reliqua subscriptionis] scripsit) || 68 Οἰκονόμου MM || 72 Μΰρσεινηότεις] litt. ϋ supra lin. suppl., litt. νη ex ωτ corr. V; id est Μυρσινιώτης || 73 στέργ(ων) ὑπ(έγραψα) supra lin. || 76 id est Κυνηγός || 78 id est Σιδηρᾶς || 81 id est Γεμιστός; Γεμεστής MM || 85 om. MM | id est ὁ ἐλάχιστος ἐν ἱερομονάχοις ||

Ich, der geringe Priester Demetrios, Sohn des Kepuros, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Michael, Mitglied des Oikonomion, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Georgios Marinos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Myrsiniotes, habe bekräftigend unterschrieben.

Ich, der geringe Priester Theodoros Kunupes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Kynegos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Nikolaos Sideras, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester und Kleriker der heiligsten Großen Kirche Gottes Michael Gemistos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Nikolaos Manikaïtes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der Priestermönch Methodios, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Georgios Philes, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der sündige Priester Nikolaos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Michael, Sohn des Diakonos, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Andronikos Patrikoleontites, habe die Bestimmungen und Entscheidungen bekräftigend unterschrieben.

Ich, der geringe Priester Konstantinos Strongylos, bekräftige die Entscheidungen und alles, was das vorliegende heilige Register

Deine Heiligkeit weiß, daß vor einiger Zeit der Sämann des Unkrauts, der überaus arglistige Teufel, in Gestalt des verstorbenen Kalabriers, des aus lateinischem Geschlecht stammenden Barlaam, eine Häresie in die Kirche Gottes hineintrug und daß, da gemäß dem heilbringenden Wort „die Pforten der Hölle sie (= die Kirche) nicht überwältigen werden", eine hochansehnliche Synode in der himmlischen Kirche der Weisheit des Wortes Gottes unter dem Vorsitz des ruhmvollen, seligen, frömmsten und göttlichsten Kaisers, des Vaters meines mächtigsten und heiligen Kaisers, zusammentrat und es sich (dort) aufgrund der heiligen Schriften erwies,

4 ἱκετεύω] litt. ευ ex α corr. V || 5 ἔχοι V, MM || 10 σπεύσειν MM || 19 post Θεοῦ MM revocant ad pag. 407 (= linn. 8sqq. documenti 249 huius editionis)

ἀπὸ τῶν θείων γραφῶν δυσσεβῆ καὶ ἀλλόκοτα δόγματα παρεισάγων καὶ μὴ θελήσας μεταμελείᾳ χρήσασθαι καὶ ὑποταγῆναι τῇ ἐκκλησίᾳ, ἀλλ᾽ εἰς τὸν ἴδιον ἔμετον ὥσπερ κύων ἐπιστρέψας καὶ γεγονὼς αὖθις Λατῖνος ἀναθέματι καθυπεβλήθη καὶ ἐκκήρυκτος τοῦ τῶν πιστῶν πληρώματος γέγονε· τὰ αὐτὰ δὲ ἱερᾶς συνόδου γενομένης ἑτέρας πέπονθε καὶ ὁ Ἀκίνδυνος ἐκεῖνος, τὰ τοῦ Βαρλαὰμ φρονῶν καὶ διεκδικῶν.

Μεταδοσίμου τοίνυν τῆς δυσσεβοῦς ταύτης δόξης ὡς λοιμώδους νόσου καθεστηκυίας προσερρύησαν καί τινες τῶν τῆς ἐκκλησίας, τῆς εὐθείας ὁδοῦ ἀποπλανηθέντες, ὅ τε χρηματίσας Ἐφέσου ἐκεῖνος καὶ ὁ Γάννου, ἀλλὰ δὴ καὶ τῶν ἰδιωτῶν ἔνιοι, δι᾽ οὓς καὶ συνεκροτήθησαν ἐν τῷ θεοφρουρήτῳ παλατίῳ σύνοδοι μεγαλοπρεπεῖς, παρόντων τῶν τῆς ἐπαρχίας πάντων ἀρχιερέων· ἀλλὰ δὴ καὶ τῶν Βαρλααμιτῶν τούτων ὑπεραπολογουμένων τῆς οἰκείας δυσσεβείας καὶ γραφικῶν χρήσεων εἰς μέσον προτεθεισῶν τῶν θεολόγων καὶ ἁγίων ἀνδρῶν ἀνεφάνησαν οὗτοι κακόδοξοι καὶ αἱρετικοὶ πρόδηλοι· ἀθετοῦσι γὰρ τὴν θείαν καὶ φυσικὴν ἐνέργειαν τὴν κοινὴν τῆς τρισυποστάτου θεότητος καὶ πᾶσαν θείαν χάριν καὶ ἔλλαμψιν καὶ δόξαν αὐτῆς, μόνον οὐσίαν τὸν Θεὸν εἶναι δογματίζοντες, ἐστερημένον τῆς φυσικῆς ἐνεργείας, ἧς ἐστέρηται τὸ μὴ ὂν κατὰ τὸν τὰ θεῖα σοφὸν Μάξιμον, ἀκυροῦντες καὶ τὴν θείαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, τὴν ὑπὲρ τῶν δύο φυσικῶν ἐνεργειῶν ἀγωνισαμένην λαμπρῶς, τῆς τε θείας, ἣν οὗτοι ἀρνοῦνται, καὶ τῆς ἀνθρωπίνης, βλασφημοῦσι κατὰ τοῦ θειοτάτου φωτὸς τῆς τοῦ Κυρίου μεταμορφώσεως, ἴνδαλμα καὶ φάντασμα καὶ χεῖρον νοήσεως καὶ κατώτερον τῶν ἀγγέλων, χρωματίσαν τὸν ἀέρα καὶ οὕτω διαλυθὲν
215r ἀποκαλοῦσιν ἀθέως || καὶ ἡμᾶς τοὺς διάκρισιν θεοπρεπῆ θείας οὐσίας καὶ ἐνεργείας κατὰ τοὺς ἁγίους πατέρας καὶ θεολόγους, ἔτι δὲ καὶ κατὰ τὴν οἰκουμενικὴν ἕκτην σύνοδον δογματίζοντας καὶ τὸ φῶς τῆς θείας μετα-

24 δυσσεβῆ καὶ ἀλλόκοτα δόγματα] cf. lin. 363 documenti 147 huius editionis || 25—26 εἰς—ἐπιστρέψας] cf. Prov. 26, 11 || 41—42 locum Max. Conf. laudatum non invenimus || 42—45 τὴν θείαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, τὴν ὑπὲρ τῶν δύο φυσικῶν ἐνεργειῶν ἀγωνισαμένην λαμπρῶς, τῆς τε θείας, ἣν οὗτοι ἀρνοῦνται, καὶ τῆς ἀνθρωπίνης] Conc. Const. III, Symbolum (*ACO* II/2, 2, 776, 1—19 Riedinger) || 46 ἴνδαλμα καὶ φάντασμα] cf. tom. syn. a. 1351: φάσμα καὶ παραπέτασμα καὶ ἴνδαλμα καὶ κτίσμα (*PG* 151, 726 C 2—3) || 47 χρωματίσαν—διαλυθὲν] cf. linn. 117—118 documenti 132 et linn. 66—67 documenti 145

daß der (inzwischen) verstorbene Barlaam irrgläubige und abartige Glaubensgrundsätze einschleuse, und daß er, da er nicht bereuen und sich nicht der Kirche unterordnen wollte, sondern wie ein Hund zum eigenen Erbrochenen zurückkehrte und wieder Lateiner wurde, dem Anathem unterworfen und aus dem Volk der Gläubigen verstoßen wurde. Dasselbe widerfuhr auf einer weiteren heiligen Synode auch dem verstorbenen Akindynos, der dieselbe Gesinnung wie Barlaam hatte und vertrat.

Als nun diese irrgläubige Meinung wie eine Seuche ansteckend wurde, strömten ihr auch einige aus der Kirche zu, die vom geraden Weg abgekommen waren, (nämlich) der verstorbene ehemalige (Metropolit) von Ephesos und der (Metropolit) von Gannos, aber auch einige Laien, um derentwillen im gottgeschützten Palast hochansehnliche Synoden zusammentraten, bei denen alle Erzpriestern der Kirchenprovinz anwesend waren. Aber obgleich diese Barlaamiten ihren eigenen Irrglauben verteidigten, erwiesen sie (= die Barlaamiten) sich, nachdem Schriftzitate aus gottesgelehrten und heiligen Männern vorgelegt worden waren, als schlechtgläubig und offenkundig häretisch. Sie verwerfen nämlich die göttliche und natürliche Energie, die der Gottheit in drei Hypostasen gemeinsam ist, und jegliche (von ihr abhängige) göttliche Gnade und Erleuchtung und Glorie, da sie die Lehrmeinung vertreten, daß Gott nur Wesenheit sei und der naturhaften Energie entbehre, deren das nicht Seiende entbehrt, gemäß dem in den göttlichen Dingen weisen Maximos, und indem sie auch das göttliche ökumenische sechste Konzil, das leuchtend für die beiden naturhaften Energien kämpfte, die göttliche, welche jene leugnen, und die menschliche, für nichtig erklärten, lästern sie gegen das göttlichste Licht der Transfiguration des Herrn. Sie nennen es in gottloser Weise Trugbild und Erscheinung und geringer als das Denken und tiefer als die Engel, etwas, das die Luft gefärbt und sich so aufgelöst habe, und uns, die wir gemäß den heiligen Vätern und Theologen sowie dem sechsten ökumenischen Konzil die gottgemäße Unterscheidung zwischen göttlicher Wesenheit und (göttlicher) Energie als Glaubensgrundsatz vertreten und

25 ante ἀλλ᾽ vocem εἰς canc. V || 26 ἔμμετον V || 28 ἑτέρας] litt. ε[1] ex corr. V | ἑτέρας γενομένης lin. 17 documenti 249 || 32 εὐθείας ἀποπλανηθέντες ὁδοῦ lin. 21 documenti 249 || 33 δὴ om. documentum 249, 22 || 35 δὴ om. documentum 249, 24 | Βαρλααμιτῶν] ante litt. λ litt. α canc. V

μορφώσεως ἄστεκτον καὶ ἀπρόσιτον καὶ βασιλείαν Θεοῦ καὶ βολίδα θεότητος ἀποκαλοῦντας διθεΐτας καὶ πολυθέους κατονομάζουσι.

Διὰ γοῦν τὴν τοιαύτην συκοφαντίαν καὶ διαβολὴν αὐτῶν καὶ τὸ βλασφημεῖν ἀνερυθριάστως ἐξηλάθησαν τοῦ τῶν ὀρθοδόξων πληρώματος καὶ ἀναθέματι καθυπεβλήθησαν, εἰ μὴ γνησίως μετανοήσωσιν, καθῃρέθησαν δὲ καὶ οἱ εἰρημένοι, ὅ τε Ἐφέσου καὶ ὁ Γάννου, οἵτινες καὶ τὸ ζῆν ἐξεμέτρησαν, στηριχθέντων τηνικαῦτα καὶ τῶν ὑγιῶν δογμάτων διὰ τοῦ προβάντος ἱεροῦ συνοδικοῦ τόμου, βεβαιωθέντος τὲ καὶ αὐτοῦ διὰ τῶν γραφικῶν καὶ θεολογικῶν ῥήσεων.

Τῆς οὖν ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας εἰρηνευούσης, Χριστοῦ χάριτι, τινὲς τῶν εἰρημένων Βαρλααμιτῶν οὐ παύονται παρεισάγειν τὰ νόθα καὶ δυσσεβῆ δόγματα καὶ διιστᾶν τινὰς τῶν ἁπλουστέρων ἀπὸ τῆς ἐκκλησίας· τὰ αὐτὰ δὲ εὑρίσκεται ποιῶν καὶ ὁ μητροπολίτης Τύρου, διιστάμενος μὲν τῆς ἡμῶν μετριότητος, κοινωνῶν δὲ καὶ προστιθέμενος τοῖς δυσσεβέσι τούτοις, ὅπερ ταράττει τὰ μέγιστα αὐτήν τὲ καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον.

Οὗ χάριν γράφει τῇ ἁγιωσύνῃ σου ἡ μετριότης ἡμῶν, ὡς ἂν τὰ περὶ τούτου ἀκριβῶς μαθοῦσα ἡ ἁγιωσύνη σου ἐρχομένων τινῶν ἐνταῦθα γράψῃς μὲν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ γνωρίσωμεν ἐντεῦθεν, ὅπως ἔχει γνώμης ἡ ἁγιωσύνη σου, παραδηλώσῃς δὲ καὶ τῷ μητροπολίτῃ Τύρου, ἵνα ἀφέξηται τελείως τοῦ τοῖς δυσσεβέσι καὶ ἀλλοτρίοις τῆς ἐκκλησίας Θεοῦ προστίθεσθαι, κοινωνῇ δὲ ἡμῖν καὶ προσέρχηται, ὡς ὁ τοῦ δικαίου ἀπαιτεῖ λόγος, ὡς ἂν τοῦ πράγματος οὕτω προχωρήσαντος ἐπικρατήσῃ πάντοθεν ὁμόνοια καὶ εἰρήνη εἰς τὴν τοῦ Χριστοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. γενέσθω οὖν ἀμεταθέτως, καθὼς γράφομεν τῇ ἁγιωσύνῃ σου.

Ἔρρωσο ἐν Κυρίῳ, ἁγιώτατε δέσποτα, ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος.

---

51 βολίδα] litt. ο ex ω corr. V || 55 εἰ] litt. ει ex α corr. V || 58 βεβαιωθέντος] στηριχθέντος doc. 249, 47 || 59 ῥήσεων] χρήσεων doc. 249, 48 || 60 Θεοῦ] Χριστοῦ in lin. 49 documenti 249 || 73 ὡσότου V || 75 Χριστοῦ] Θεοῦ in lin. 64 documenti 249

das Licht der göttlichen Transfiguration unerträglich und unzugänglich und Reich Gottes und Strahl der Gottheit nennen, bezeichnen sie als Anhänger des Zweigott- und des Mehrgottglaubens.

Wegen ebendieser Diffamierung und Verleumdung und ihrer schamlosen Gotteslästerung wurden sie aus dem Volk der Rechtgläubigen vertrieben und mit dem Anathema belegt, wenn sie nicht aufrichtig bereuen. Weiters wurden die erwähnten (Metropoliten) von Ephesos und Gannos, die inzwischen verschieden sind, abgesetzt, wobei damals die gesunden Glaubenssätze durch den Erlaß eines heiligen Synodaltomos gestützt wurden, der seinerseits durch die Worte der Schrift und der Theologen abgesichert war.

Während sich also die heilige katholische und apostolische Kirche Gottes durch Christi Gnade in Frieden befindet, lassen einige der genannten Barlaamiten nicht davon ab, die vorgeblichen und irrgläubigen Glaubenssätze einzuschleusen und einige schlichtere (Menschen) von der Kirche zu trennen. Ebendies zu tun wird auch der Metropolit von Tyros befunden, der sich von unserer Bescheidenheit trennt und mit diesen Irrgläubigen Gemeinschaft pflegt und sich ihnen anschließt, was sie (= unsere Bescheidenheit) und die um sie versammelte göttliche und heilige Synode im höchsten Maße beunruhigt.

Deswegen schreibt unsere Bescheidenheit Deiner Heiligkeit, damit sich Deine Heiligkeit über diese Angelegenheit genaue Kenntnis verschafft und Du, wenn Leute (aus Antiocheia) hierher kommen, an unsere Bescheidenheit und die um sie versammelte göttliche und heilige Synode schreibst und wir so Kenntnis davon erhalten, welcher Meinung Deine Heiligkeit ist. Weiters sollst Du auch dem Metropoliten von Tyros auftragen, daß er den Kontakt mit Irrgläubigen und außerhalb der Kirche Gottes Stehenden gänzlich unterlassen, mit uns Gemeinschaft pflegen und (zu uns) kommen soll, wie es das rechtliche Denken fordert. Wenn die Sache so ihren Lauf genommen hat, wird überall Eintracht und Frieden in der katholischen und apostolischen Kirche Christi einkehren. Es soll also unverzüglich (so) geschehen, wie wir Deiner Heiligkeit schreiben.

Lebe wohl im Herrn, heiligster Herr, geliebter priesterlicher Mitbruder unserer Bescheidenheit.

252

Fra Nikolaos O. P., lateinischer Bischof von Chimara und Kozile, verzichtet vor dem Patriarchen Kallistos I. von Konstantinopel auf seine Kirche.

V 47, f. 215ʳ — ἔτος τῆς ἐνσάρκου οἰκονομίας χίλιοι τριακόσιοι
MM I 411 (Nr. 177/1) — ἑξηκοντατρεῖς χρόνοι ὄντες (Z. 2—3)
(vgl. Dar. Reg. 2439) — ἐν ἡμέρᾳ παρασκευῇ τοπρωΐ, τετάρτῃ τοῦ δεκεβρίου μηνὸς ἰνδικτιῶνος ιδ^ης' (Z. 9—10)
Freitag, 4. Dezember ⟨1360⟩
γραφή (Z. 5), γράμμα (Z. 11)

Erwähnte Urkunden und Gesetze:
a) Glaubensbekenntnis und Gehorsamsversprechen des Fra Nikolaos (= nachfolgende Nr. 253) (ὁμολογία: Z. 5).

† Ἐν ὀνόματι τοῦ Κυρίου, ἀμήν.

Ἔτος τῆς ἐνσάρκου οἰκονομίας χίλιοι τριακόσιοι ἑξηκοντατρεῖς χρόνοι ὄντες, ἐγὼ φρὰ Νικόλαος, Θεοῦ χάριτι καὶ τοῦ ἀποστολικοῦ θρόνου ἐπίσκοπος Χιμάρας καὶ Κοζίλης, ἐκ τῆς τάξεως τῶν κηρύκων διὰ τῆς παρούσης ἡμῶν γραφῆς καὶ ὁμολογίας ἀποβάλλομεν αὐτὴν τὴν ἐκκλησίαν Χιμάρας καὶ Κοζίλης ἔμπροσθεν τοῦ παναγιωτάτου πατρὸς καὶ κυρίου κυροῦ Καλλίστου, τῆς ἁγιωτάτης ἐκκλησίας τῆς Κωνσταντινουπόλεως πατριάρχου ἀξιωτάτου, καὶ τῶν ἀρχιερέων, αὐτοῦ καθημένου ἐπὶ θρόνου καὶ τὴν δικαιοσύνην ἑκάστου ὑπουργῶν, ἐν ἡμέρᾳ παρασκευῇ τοπρωΐ, τετάρτῃ τοῦ δεκεβρίου μηνὸς ἰνδικτιῶνος ιδ^ης'.

Χάριν δὲ βεβαιώσεως ἐβουλλώθη τὸ παρὸν ἡμέτερον γράμμα μετὰ τῆς ἡμετέρας ἀρχιερατικῆς βούλλης †.

† Ἐγὼ Νικόλαος οἰκείᾳ χειρὶ προέταξα †.

3 ἐγὼ (ex ἐμός?) corr. V || 4 Χιμάρρας MM || 6 Χιμάρρας V, MM || 7 κυρίου om. MM | κυροῦ] litt. κ ex corr. V || 9 θρό^ν V; an θρόνῳ legendum? | ὑπουργῶν] litt. ῶν haud facile leguntur; an ὑπουργοῦντος scribendum? || 12 βούλλης] litt. λλ ex λ corr. V || 13 προσέταξα MM

252

Invocatio (1). *Verzichtserklärung des lateinischen Bischofs von Chimara und Kozile, des Dominikaners Fra Nikolaos, auf seine Kirche* (2 bis 9). *Datierung* (9—10). *Corroboratio* (11—12). *Unterschrift* (13).

Im Namen des Herrn, Amen.

Im Jahr 1363[1] der Fleischwerdung (Christi) verzichte ich, Fra Nikolaos, von Gottes und des apostolischen Thrones Gnaden Bischof von Chimara und Kozile, aus dem Orden der Prediger (= Dominikaner), mit unserem vorliegenden Schreiben und Bekenntnis auf diese Kirche von Chimara und Kozile in Gegenwart des hochheiligsten Vaters und Herrn, Herrn Kallistos, des hochwürdigen Patriarchen der heiligsten Kirche von Konstantinopel, und der Erzpriester, wobei er (= der Patriarch) im Dienste der Gerechtigkeit für jeden auf dem Thron saß. Am Freitag vormittag, dem 4. Dezember der 14. Indiktion.

Zwecks Bekräftigung wurde unsere vorliegende Urkunde mit unserem erzpriesterlichen Siegel versehen.

Ich, Nikolaos, habe eigenhändig die Protage[2] geschrieben.

[1] Die Datumsangabe nach der Geburt Christi stimmt mit den (in sich völlig kongruenten) Indiktions- bzw. Tages- und Monatsangaben sowie der Weltjahresdatierung der dazugehörenden folgenden Urkunde nicht überein und ist daher als falsch zu betrachten.

[2] Sollte das Original eine Protage aufgewiesen haben, wie dies die (abschriftliche) Unterfertigung behauptet, so wurde diese im Patriarchatsregister nicht mitkopiert.

253

Fra Nikolaos O. P. legt ein Glaubensbekenntnis ab und verspricht Gehorsam gegenüber der Großen Kirche von Konstantinopel.

V 47, f. 215r–v κατὰ μῆνα δεκέβριον τῆς ιδης' ἰνδικτιῶνος
MM I 411 (Nr. 177/2) ἔτους ,ςοῦωοῦ ἑξηκοστοῦ ἐννάτου (Z. 41—42)
(vgl. Dar. Reg. 2439) Dezember 6869 (= 1360)
ἔγγραφος ὁμολογία (Z. 38)

Erwähnte Urkunden und Gesetze:

a) Synodaltomos über die Verurteilung der Ansichten des Barlaam und des Akindynos sowie ihnen Gleichgesinnter, ⟨Mai/August 1351; Dar. Reg. 2324/2326⟩ (ἱερὸς τόμος: Z. 29); wohl unter Einschluß der Tomoi von 1341 (Dar. Reg. 2213 = PRK 132) und 1347 (Dar. Reg. 2270 = PRK 147).

† «Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τὲ ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς
215v καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, || οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν, εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν· ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἀμήν».

1—18 symbolum Nicaeno-Constantinopolitanum (cf. Dossetti 244—250)

1—38 om. MM (post Θεὸν κ. τ. λ.) || 8 καὶ²] litt. κ ex του corr. V || 10 post ἀναστάντα deest ἐκ νεκρῶν

253

Nikäno-konstantinopolitanisches Glaubensbekenntnis (1—18). *Bekenntnis zu den ökumenischen Konzilen und lokalen Synoden* (19 bis 22). *Verwerfung der Bräuche der römischen Kirche* (23—26). *Verwerfung der Lehren des Barlaam und des Akindynos sowie unumschränkte Anerkennung des gegen diese ergangenen Tomos* (26—30). *Anerkennung der Großen Kirche, des Patriarchen von Konstantinopel Kallistos I. sowie der Synode* (30—33). *Gehorsamsversprechen gegenüber der Großen Kirche* (33—36). *Ausstellungsvermerk und Datierung* (37 bis 42). *Unterschrift* (43).

„Ich glaube an einen Gott, Vater und Allherrscher, Schöpfer (des) Himmels und (der) Erde, aller sichtbaren und unsichtbaren Dinge, und an (den) einen Herrn Jesus Christus, den eingeborenen Sohn Gottes, der vom Vater gezeugt wurde vor aller Zeit, Licht vom Licht, wahrer Gott vom wahren Gott, gezeugt, nicht geschaffen, eines Wesens mit dem Vater; durch ihn ist alles entstanden; für uns Menschen und um unseres Heiles willen ist er vom Himmel herabgestiegen und hat Fleisch angenommen durch den Heiligen Geist und die Jungfrau Maria und ist Mensch geworden; unter Pontius Pilatus wurde er für uns gekreuzigt, hat gelitten und wurde begraben; er ist auferstanden am dritten Tage gemäß der Schrift {und}, aufgefahren in den Himmel und sitzt zur Rechten des Vaters, er wird wiederkommen in Herrlichkeit, zu richten die Lebenden und die Toten; seines Reiches wird kein Ende sein; (ich glaube) an den Heiligen Geist, den Herrn und Lebensspender, der vom Vater ausgeht und mit dem Vater und dem Sohn zugleich verehrt und verherrlicht wird; er hat gesprochen durch die Propheten; (ich glaube) an (die) eine heilige katholische und apostolische Kirche. Ich bekenne (die) eine Taufe zur Vergebung der Sünden, ich erwarte die Auferstehung der Toten und das Leben der zukünftigen Welt. Amen".

Πρὸς τούτοις ἀσπάζομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους καὶ τὰς μερικάς, αἵτινες συνεκροτήθησαν ἐπὶ συστάσει καὶ στηριγμῷ καὶ ἀσφαλείᾳ τῆς ὑγιοῦς πίστεως, ἀποδεχόμενος, ἅπερ καὶ αὗται ἀποδέχονται, καὶ αὖθις ἀποβαλλόμενος, ἅπερ ἀποβάλλονται· ἔτι τὲ ἀποβάλλομαι καὶ ἀποστέργω ἀπὸ ψυχῆς καὶ τὰ καινοτομηθέντα ἔθη ἐν τῇ ἐκκλησίᾳ τῆς Ῥώμης μετὰ καθαροῦ καὶ ὑγιοῦς τοῦ φρονήματος καὶ τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίαν καὶ τὰ ἄζυμα. πρὸς δὲ ἀποβάλλομαι καὶ τὰ δυσσεβῆ καὶ κακόδοξα δόγματα τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου καὶ πάντας τοὺς αἱρεσιῶτας αὐτῶν. στέργω κατὰ πάντα τὸν προβάντα κατ᾽ αὐτῶν ἐπ᾽ ἀσφαλείᾳ τῶν ὑγιῶν δογμάτων ἱερὸν τόμον παρὰ τῆς ἁγιωτάτης Μεγάλης τοῦ Θεοῦ Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως· ἥντινα δὲ Μεγάλην Ἐκκλησίαν καὶ τὸν ταύτης παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην κῦρ Κάλλιστον, καὶ τὴν περὶ αὐτὸν θείαν καὶ ἱερὰν σύνοδον στέργω καταπάντα καὶ διαβεβαιοῦμαι καὶ ὑπισχνοῦμαι, ἵνα τῇ τοῦ Θεοῦ χάριτι εὑρίσκωμαι διαπάσης μου τῆς ζωῆς ὑποτασσόμενος τῇ τοιαύτῃ ἁγιωτάτῃ Μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ πᾶσι τοῖς τεθεσπισμένοις καὶ δεδογμένοις αὐτῇ.

Καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν καὶ βεβαίωσιν γεγονυῖα καὶ ἡ παροῦσα μου ἔγγραφος ὁμολογία, ἣν ἐποιησάμην ὑπὸ Θεῷ μάρτυρι καὶ τοῖς ἁγίοις αὐτοῦ ἀγγέλοις, πιστωθεῖσα ἄνωθεν μὲν ἡμετέρᾳ οἰκειοχείρῳ προταγῇ, κάτωθεν δὲ ὑπογραφῇ, ἐπεδόθη τῇ ἁγιωτάτῃ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως κατὰ μῆνα δεκέβριον τῆς ιδ[ης]' ἰνδικτιῶνος ἔτους ˏϛ[οῦ]ω[οῦ] ἑξηκοστοῦ ἐννάτου †.

† Ἐγὼ Νικόλαος οἰκείᾳ χειρὶ ὑπέταξα †. |

20 ἐπὶ] litt. ε ex corr. V || 26 καὶ τὰ] haud facile leguntur, τὰ ex τὸν corr. V || 30 ἥντινα] litt. τι ex corr. V || 42 ἐννάτου] litt. ν^2 ex α corr. || 43 an ὑπέγραψα coniciendum?

Darüber hinaus nehme ich freudig die heiligen ökumenischen sieben Konzile und die lokalen Synoden an, die zur Kräftigung und Unterstützung und Sicherheit des gesunden Glaubens zusammentraten, heiße gut, was auch jene gutheißen, und verwerfe wiederum, was sie verwerfen; weiters verwerfe ich aus ganzem Herzen und mit reinem und gesundem Verstand auch die als (schlechte) Neuerungen eingeführten Bräuche in der römischen Kirche und lehne sie ab, sowohl die Lästerung gegen den Heiligen Geist als auch die Azymen. Darüber hinaus verwerfe ich die irr- und schlechtgläubigen Lehrmeinungen des Barlaam und des Akindynos sowie alle Anhänger ihrer Häresie. Ich nehme in vollem Umfang den gegen sie zur Sicherung der gesunden Glaubensgrundsätze von der heiligsten Großen Kirche Gottes von Konstantinopel ergangenen heiligen Tomos an. Selbiger Großen Kirche und meinem Herrn, ihrem hochheiligsten ökumenischen Patriarchen, Herrn Kallistos, und der um ihn versammelten göttlichen und heiligen Synode folge ich in allem und ich bekräftige und verspreche, mich mit Gottes Gnade mein ganzes Leben lang dieser heiligsten Großen Kirche Gottes und allen ihren Entscheidungen und Glaubensgrundsätzen unterzuordnen.

Und zur diesbezüglichen Sicherheit und Bekräftigung erfolgte auch mein vorliegendes schriftliches (Glaubens)bekenntnis, das ich vor Gott und seinen heiligen Engeln als Zeugen ablegte, beglaubigt oben durch unsere eigenhändige Protage[1], unten durch die Unterschrift. Es wurde der heiligsten katholischen und apostolischen Kirche Konstantinopels im Monat Dezember der 14. Indiktion des Jahres 6869 übergeben.

Ich, Nikolaos, habe eigenhändig unterschrieben.

[1] Vgl. oben, S. 473, Anm. 2. — Auch die Unterschrift unter dem vorliegenden Text ist kopial.

254

Kallistos I. und die Synode versetzen den Bischof N. N. von Kephallenia in die Metropolis Naupaktos.

V 47, f. 215ᵛ—216ʳ	κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ᾱ'ης
MM I 413—415 (Nr. 179)	ἰνδικτιῶνος τοῦ ,ςοῦω̄οῦο̄οῦᾱου'
PG 152, 1366—1368	ἔτους (Z. 70—71)
Dar. Reg. 2446	September 6871 (= 1362)
Mazal 364	συνοδικὴ πρᾶξις (Z. 68)
	(vgl. μετάθεσις [Z. 1])

Erwähnte Urkunden und Gesetze:

a) Übertragung der Wahrnehmung der kirchlichen Rechte in der Metropolis Naupaktos (in der Form einer Epidosis?) an den Bischof von Kephallenia durch den Patriarchen ⟨Kallistos I.; fehlt bei Dar. Reg.⟩ (vgl. τὸν ... ἐπίσκοπον Κεφαλληνίας ... καὶ πρώην ταύτης κηδόμενον καὶ τὰ ἐκκλησιαστικὰ δίκαια ... ἀναδεδεγμένον [Z. 34—37])

† Μετάθεσις

† Μέγα τὶ χρῆμα πρὸς τὴν τῆς ἐκκλησίας Θεοῦ σύστασιν καὶ ἀσφαλῆ μονιμότητα τὸ τοὺς προστατεῖν χάριτας λαχόντας αὐτῆς καὶ τοὺς οἰκουμενικοὺς τῆς ποιμανσίας οἴακας κρίμασι θειοτέροις ἰθύνοντας ἐμμέριμνον ἔργον ἔχειν ἑκάστοτε, ὥστε φροντίζειν τῶν ἑκασταχοῦ τῆς οἰκουμένης ἐκκλησιῶν καὶ ταύταις ἐγκαθιστᾶν ποιμένας καὶ διδασκάλους ἐπὶ τῷ ποιμαίνειν τὰ λογικὰ τοῦ Χριστοῦ πρόβατα καὶ πρὸς νομὰς ὁδηγεῖν σωτηρίους, μεθ' ἑαυτῶν ἔχοντας αὐτὸν τὸν ἀληθῆ καὶ μέγαν ποιμένα τὲ καὶ σωτῆρα, μέχρι καὶ τῆς τοῦ αἰῶνος συμπληρώσεώς τε καὶ τελειώσεως, οὐ μὴν ἀλλὰ καὶ μετ' αὐτῶν εἰς τοὺς ἀπειρήτους ἐκείνους αἰῶνας, ἔνθα καὶ τὰ βραβεῖα τοῖς ἐνταῦθα διηγωνισμένοις πολλαπλασίως ἡτοίμασται. νόμος γὰρ οὗτος παλαιός τε καὶ καλῶς ἔχων τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ἐπεκράτησεν εἰς τὴν ταύτης οἰκοδομήν, ὥστε καὶ τὰς τῶν ἐκκλησιῶν τε καὶ πόλεων περιφανεῖς καὶ ποιμένων εὐμοιρεῖν ἀξιολόγων καὶ τούτους αὐτοὺς πάλιν οἱονεί τινος ἐφαμίλλου γνώμης τῇ σφετέρᾳ

8—9 cf. Joh. 10, 11 || 11—12 βραβεῖα—ἡτοίμασται] cf. 1 Cor. 9, 24—25

1 titulus man. pr. (sed nota manum in lin. 10 post vocem τελειώσεως mutatam) inter finem documenti praecedentis et initium huius documenti scriptus; om. MM || 6 ante et post vocem ποιμένας lin. verticalis in V || 8 μέγα V || 9 συμπληρώσεώς] litt. η ex ή, ε ex ι corr. V || 10 altera manus incipit || 11 τοῖς scripsimus cum MM, τῆς V || 12 τε om. MM || 15 πάλιν] litt. ιν ex corr. V | ἐφαμίλου V

254

Überschrift (1). *Verpflichtung der Kirchenführung zu besonderer Sorge für altehrwürdige Städte* (2—19). *Besondere Unterstützungswürdigkeit der Metropolis Naupaktos aufgrund ihrer Sonderstellung sowie der dortigen politischen Wirrnisse* (20—32). *Versetzung des Bischofs von Kephallenia in die Metropolis Naupaktos* (33—50). *Rechte des Metropoliten von Naupaktos* (51—62). *Pflichten des Kirchenvolkes von Naupaktos* (63—67). *Ausstellungsvermerk* (68—70). *Datierung* (70—72).

b) (schriftliche?) Entscheidung des Kaisers ⟨Ioannes V. Palaiologos im Sinne der vorliegenden Synodalpraxis; fehlt bei Dö. Reg.⟩ (vgl. εἰδήσει καὶ εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος [Z. 45—46]).

Versetzung

Es ist von großer Bedeutung für den sicheren und dauerhaften Bestand der Kirche Gottes, daß diejenigen, die die Gnade, an ihrer Spitze zu stehen, empfangen haben und das ökumenische Steuerruder des Hirtenamtes aufgrund göttlichen Ratschlusses lenken, jederzeit ihre unermüdliche Sorge darauf verwenden, sich um die allerorts befindlichen Kirchen in der Ökumene zu kümmern und in ihnen Hirten und Lehrer einzusetzen, mit dem Zwecke, die vernunftbegabten Schafe Christi zu weiden und sie auf die Gefilde des Heils zu führen, indem sie in sich den wahren und großen Hirten und Erlöser selbst tragen, und zwar bis zur Erfüllung und Vollendung der Zeit, aber ebenso auch in jene ungeahnten Ewigkeiten, in denen für die, die hier gekämpft haben, die Siegespreise in vielfacher Weise bereitet sind. Denn dies ist ein altes Gesetz, das sich aufgrund seiner Güte in der Kirche Gottes bei deren Aufbau durchgesetzt hat, daß die angesehenen Kirchen und Städte auch vortrefflicher Hirten teilhaftig werden und diese wiederum, deren Natur

φύσει μεμετρημένης ἐντεῦθεν πρὸς λόγων ἔχειν ἐφάπτεσθαι καὶ τὴν οἰκείαν ἐν τοῖς καλλίστοις ἐπιδείκνυσθαι δύναμιν. ἀμφοτέρωθεν γὰρ ἂν οὕτως ὁ τοῦ δικαίου διασῴζοιτο λόγος, καὶ τὸ τῆς ἐκκλησίας πλήρωμα ὑπὸ Θεῷ συμμάχῳ κατὰ τὸ προσαρμόζον | σχῆμα διατηροῖτο.

216r Ταῦτ᾽ ἄρα καὶ ἡ μετριότης || ἡμῶν τὴν ἁγιωτάτην μητρόπολιν Ναυπάκτου εἰς πλεῖστον ὅσον χρόνον εἰδυῖα στερουμένην ἀρχιερέως γνησίου καὶ τὸν ὑπ᾽ αὐτὴν χριστώνυμον τοῦ Κυρίου λαὸν τῇ τούτου ἐρημίᾳ περιπλανώμενον, ὡς οὐκ ἔδει, καὶ ὅσον τὸ ἐντεῦθεν κακὸν ἐννοήσασα οὔμενουν δίκαιον ᾠήθη ἀμελείᾳ καὶ εἰστοεξῆς ὁπωσοῦν χρήσασθαι εἰς τὴν ταύτης ἐπίσκεψιν καὶ προμήθειαν, χηρεύουσαν, ὡς διείληπται, ἀρχιερατικῆς ἐπιστασίας ἐπιτοσοῦτον καὶ ταῦτα πλείστης δεομένην συνάρσεως καὶ κηδεμονίας, ἅμα μὲν διὰ τὸ συναριθμεῖσθαι ταῖς ἐκκρίτοις τῶν μητροπόλεων καὶ τὸ συγκεχωρηκὸς ἔχειν ἀπό τε θρόνου καὶ χρόνου καὶ τὸ πρεσβεῖον ἐντεῦθεν, ἅμα δὲ καὶ διὰ τὸ παραχωρήσει Θεοῦ πλήθει ἁμαρτιῶν πρό τινων ἤδη χρόνων ἐπελθεῖν ἐκεῖσε τὴν τῶν πραγμάτων ἀνωμαλίαν καὶ σύγχυσιν καὶ ταύτης ἔργον γενέσθαι καὶ αὐτὴν δυστυχέστατα.

Καὶ δὴ σπούδασμα κατὰ τὸ εἰκὸς καὶ φροντίδα οὐ μικρὰν ποιησαμένη συνοδικῶς περὶ ταύτης, ἐπεὶ εὗρε τὸν θεοφιλέστατον ἐπίσκοπον Κεφαλληνίας ζήλῳ θεοφιλεῖ καὶ πρώην ταύτης κηδόμενον καὶ τὰ ἐκκλησιαστικὰ δίκαια τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως Ναυπάκτου ἀναδεδεγμένον παρὰ τῆς ἡμῶν μετριότητος καὶ πολλὴν σπουδὴν εἰσενεγκάμενον ὑπὲρ ὠφελείας τοῦ ἐκεῖσε χριστωνύμου λαοῦ καὶ πάντα πράττειν καὶ ποιεῖν προθυμούμενον, ὅσα τε εἰς σύστασιν συντείνει τῶν εὐσεβῶν οἰκητόρων αὐτῆς καὶ εἰς εὐαρέστησιν τοῦ Θεοῦ, ἡ μετριότης ἡμῶν κοινῇ ψήφῳ καὶ διασκέψει τῆς περὶ αὐτὴν θείας ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Κυζίκου, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Τραϊανουπόλεως, τοῦ Βρύσεως, τοῦ Ἀμάστρι-

16 μεμετρημένης] ε[1] ex corr. V || 17 καλλίστοις] litt. λλ ex λ corr. V || 18 οὗτος V, MM || 19 προσαρμόζον] ο[2] ex ω corr. V || 21 εἰδυῖα scripsimus cum MM, ἰδία V || 24 οὔμενουν] οὐ μὲν ... MM || 25 ταύτης scripsimus cum MM, ταύτην V || 28 συγκεχωρηκὸς] litt. υ ex υν corr. V | ἔχειν] ε[2] ex corr. V || 29 πρεσβεύειν MM | πλήθει scripsimus cum MM, πλήθη V || 31—32 δυστυχέστατα] litt. εστ ex corr. V ||

gewissermaßen ein wetteifernder Sinn zugemessen ist, befähigt sind, sich von Worten entzünden zu lassen und ihre Kraft in den edelsten Dingen zu zeigen. So würde nämlich von beiden Seiten her die Gerechtigkeit gewahrt, und das kirchliche Volk mit der Hilfe Gottes in passender Weise bewahrt.

Im Wissen, daß die heiligste Metropolis von Naupaktos seit geraumer Zeit eines legitimen Erzpriesters entbehrt und daß das ihr unterstehende Christenvolk des Herrn durch den Mangel an einem solchen (Erzpriester) irreging, wie es nicht geschehen hätte dürfen, und in der Erkenntnis, wie groß das daraus entstandene Übel war, hielt es unsere Bescheidenheit in keiner Weise für gerechtfertigt, weiterhin auf irgendeine Weise die Aufsicht und Versorgung dieser (Kirche) zu vernachlässigen, da sie (= die Metropolis Naupaktos), wie gesagt, bereits so lange der Führung durch einen Erzpriester entbehrt und daher größter Unterstützung und Sorge bedarf, zumal sie einerseits zu den auserwählten unter den Metropolien gehört und an Rang und Zeit eine Sonderstellung innehat und daher einen Vorrang genießt, zum anderen aber auch, weil es mit Gottes Duldung aufgrund der vielen Sünden dort bereits vor einigen Jahren zu politischen Unruhen und Wirren gekommen ist und sie (= die Metropolis von Naupaktos) auf äußerst unglückliche Weise in diese verwickelt wurde.

Daher war unsere Bescheidenheit in angebrachter Weise um sie bemüht und traf für sie mit der Synode keine geringe Fürsorge. Da nun, wie (unsere Bescheidenheit) feststellte, der gottgeliebteste Bischof von Kephallenia schon zuvor mit gottliebendem Eifer für sie sorgte und die Kirchenrechte der genannten heiligsten Metropolis von Naupaktos von unserer Bescheidenheit übernommen und großen Eifer für die Wohlfahrt des dortigen Christenvolkes an den Tag gelegt hatte und alles zu tun bereit war, was zur Förderung ihrer frommen Einwohner und zu Gottes Wohlgefallen beiträgt, versetzte ihn unsere Bescheidenheit in gemeinsamer Abstimmung und Beratung mit der um sie versammelten göttlichen Versammlung der heiligsten Erzpriester von Kaisareia, von Kyzikos, von Nikaia, von Chalkedon, von Pontoherakleia, von Traianupolis, von Brysis, von Amastris, von Selybria, der auch die Position (des Metropoli-

34—35 Κεφαλληνίας scripsimus cum MM, Κεφαληνίας V || 40 οἰκητόρων] κτητόρων MM || 43 Βρύσεως scripsimus cum MM, Βρίσεως V

δος, τοῦ Σηλυβρίας καὶ τὸν τόπον ἐπέχοντος Κοτυαείου, τοῦ Σουγδαΐας, τοῦ Χριστιανουπόλεως καὶ τοῦ Ῥωσίου, εἰδήσει καὶ εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ κοσμοῦντος καὶ ἑδράζοντος τὸ τῆς ἐκκλησίας στερέωμα ἀπὸ τῆς δεδωρημένης τῷ ἐνθέῳ κράτει αὐτοῦ ὑπερφυοῦς μεγαλονοίας καὶ τῆς πάντ' ἀρίστης καὶ κηδεμονικῆς αὐτοῦ γνώμης καὶ φύσεως, μετέθηκε τοῦτον εἰς τὴν τῆς Ναυπάκτου ἁγιωτάτην ταύτην μητρόπολιν,

Ὅς δὴ ἱερώτατος μητροπολίτης Ναυπάκτου, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς ἡμῶν καὶ συλλειτουργός, ὥσπερ τῆς ἐπωνυμίας τοῦ θρόνου ταύτης καὶ τοῦ ὀνόματος, οὕτως ἔσται κἂν τῷ ἑξῆς ἀεὶ χρόνῳ μετέχων καὶ ἀπολαύων καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἅτε γνήσιος ἤδη ἀρχιερεὺς διὰ τῆς τοῦ Θεοῦ χάριτος | ἀποκαταστὰς τῆς ῥηθείσης ἁγιωτάτης μητροπόλεως Ναυπάκτου, καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν τῆς ἀνηκούσης τιμῆς ἔν τε καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν, ἀναγνώστας τὲ σφραγίζων ἐκ τῶν ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους προβιβάζων καὶ πρεσβυτέρους χειροτονῶν καὶ ἐπισκόπους εἰς τὰς ὑπ' αὐτὸν ἐκκλησίας ἐγκαθιστῶν, ἐφειμένον καὶ τούτῳ διαπράττεσθαι, ἐπιλαβόμενός τε καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων ταύτῃ δικαίων.

Ὅθεν ὀφείλουσιν οἵ τε ἐν αὐτῇ κληρικοὶ καὶ ἱερωμένοι, μοναχοὶ καὶ λαϊκοὶ ὑποκεῖσθαι καὶ πειθαρχεῖν τούτῳ ὅσα καὶ οἰκείῳ καὶ γνησίῳ αὐτῶν ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν Θεὸν καὶ δέχεσθαι προθύμως καὶ ἀποπληροῦν, ὅσα μέλλει λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς ψυχωφελῆ καὶ σωτήρια.

Αὐτὴ δὴ τούτου ἕνεκεν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις γεγονυῖα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ναυπάκτου καὶ ὑπερτίμῳ εἰς ἀσφάλειαν ἐπιδέδοται, ἀπολυθεῖσα κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ᾱ'ης ἰνδικτιῶνος τοῦ ,ϛοῦω̄οῦο̄οῦ ᾱου' ἔτους, ἥτις καὶ ὑπεσημάνθη τῇ αὐτοχείρῳ ὑπογραφῇ τῆς ἡμῶν μετριότητος †. ||

44 Σελυβρίας MM | Κοτολείου MM || 45 καὶ[3] om. MM || 48 μεγαλονοίας scripsimus cum MM, μεγαλωνίας V | πανταρίστης MM || 57 ὑποτύπωσιν] υ[2] ex corr. V || 60 ὑπ' αὐτὸν scripsimus cum MM, ὑπ' αὐτῶν V || 61 ἐφειμένον coniecimus; ἐφειμένων V, MM || 68 αὐτὴ] litt. τὴ ex corr. V | πράξις V || 69 μητροπολίτῳ MM || 72 post finem documenti quinta fere pars f. 216ʳ scriptura caret

ten) von Kotyaeion innehat, (weiters dessen) von Sugdaïa, von Christianupolis und von Rhosion sowie mit dem Wissen und der Billigung meines mächtigsten und heiligen Kaisers, der das Firmament der Kirche aufgrund der seiner göttlichen Majestät geschenkten überragenden Großmut und seiner allerbesten und fürsorgenden Gesinnung und Natur schmückt und stützt, in diese heiligste Metropolis von Naupaktos.

Dieser heiligste Metropolit von Naupaktos also, Hypertimos, unser im Heiligen Geist geliebter priesterlicher Mitbruder, wird wie an dem Namen ihres Thrones und dem Titel so in alle Zukunft auch an der Einsetzung in das heilige Synthronon als nunmehr legitimer Erzpriester der genannten heiligsten Metropolis von Naupaktos, der durch die Gnade Gottes eingesetzt wurde, teilhaben sowie gemäß der kirchlichen Ordnung und Vorschrift in den Genuß der gebührenden Ehre bei den Sitzungen, Konsistorien und Versammlungen kommen. (Weiters) wird er aus ihren (Gläubigen) Anagnosten bestätigen und Subdiakone und Diakone befördern und Presbyter weihen und Bischöfe in den ihm unterstehenden Kirchen einsetzen, wobei es ihm zusteht, auch dies zu tun, und sich auch aller in irgendeiner Weise der (Metropolis) zukommenden Rechte annehmen.

Aus diesem Grund müssen sich ihm auch die in ihr (= der Metropolis) befindlichen Kleriker und Priester, Mönche und Laien als ihrem eigenen und legitimen Hirten und Vater und Lehrer und Vermittler und Versöhner in der Beziehung zu Gott unterordnen und ihm gehorchen sowie bereitwillig annehmen und erfüllen, was er ihnen an der Seele Förderlichem und Heilbringendem sagen und (worin er sie) unterweisen wird.

Aus diesem Grunde wurde auch diese unsere vorliegende Synodalpraxis erlassen und dem genannten heiligsten Metropoliten von Naupaktos und Hypertimos zur Sicherung ausgehändigt; sie wurde im Monat September der gegenwärtigen 2. Indiktion des Jahres 6871 expediert und mit der eigenhändigen Unterschrift unserer Bescheidenheit unterzeichnet.

255

Philotheos Kokkinos anerkennt den Patriarchen Pachomios I. von Antiocheia von neuem in seiner Würde und beklagt sich über die Umtriebe des Metropoliten Arsenios von Tyros und des Metropoliten N. von Germanikopolis sowie über Vorfälle im Hodegon-Kloster.

V 47, f. 216^{v}	ἰαννουαρίῳ τῆς ιδ$^{ης'}$ ἰνδικτιῶνος
MM I 412—413 (Nr. 178)	(Z. 2)
PG 152, 1365—1366	Januar ⟨1376⟩
Dar. Reg. 2668	γράμμα (Z. 39)
	(vgl. auch πιττάκιον [Z. 1])

Erwähnte Urkunden und Gesetze:

a) ⟨Schreiben des Patriarchen Philotheos Kokkinos und der Synode von etwa März/Juni 1365; Dar. Reg. 2483⟩: erstmalige Anerkennung der Wahl des Pachomios ⟨I.⟩ zum Patriarchen von Antiocheia (vgl. ἡμεῖς ... καὶ πρότερον πατριάρχην σε εἴχομεν Ἀντιοχείας [Z. 13—14])

b) ⟨Schreiben der Synode von Antiocheia an den Patriarchen Philotheos Kokkinos von Konstantinopel⟩: Mitteilung der (Wieder)wahl des Pachomios ⟨I.⟩ zum Patriarchen von Antiocheia (vgl. ἐπληροφορήθημεν [Z. 14]) (vgl. auch Nr. 256, erwähnte Urkunde b).

216^{r} † Πιττάκιον εἰς τὸν Ἀντιοχείας, κῦρ Παχώμιον, γραφὲν ἰαννουαρίῳ τῆς ιδ$^{ης'}$ ἰνδικτιῶνος

† Ἁγιώτατε δέσποτα, πατριάρχα Θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ·

Εὔχομαι τῷ Θεῷ ὑγιαίνειν τὴν ἁγιωσύνην σου καὶ σωματικῶς εἰς σύστασιν καὶ ὠφέλειαν τοῦ ὑπ' αὐτὴν χριστωνύμου πληρώματος.

Ἀπὸ τῶν ἐλθόντων ἐνταῦθα πρέσβεων παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς περὶ σὲ ἱερᾶς συνόδου, τοῦ τε ἱερωτάτου μητροπολίτου Λαοδικείας καὶ ὑπερτίμου, ἀγαπητοῦ κατὰ Κύριον ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ, καὶ τοῦ ἐντιμοτάτου χαρτοφύλακος, πρεσβυτέρου κῦρ Ἰωσήφ,

---

2 ἰανουαρίῳ MM || 5 post συλλειτουργέ voces τῆς ἡμῶν μετριότητος perperam add. MM || 9 Λαοδικείας] litt. δ ex κ corr. V

255

Überschrift (1—2). *Vokativische Anrede des Empfängers* (3—5). *Wünsche für das Wohlbefinden des Empfängers* (6—7). *Neuerliche Bestätigung der Wahl des Pachomios I. zum Patriarchen von Antiocheia durch den Patriarchen von Konstantinopel* (8—17). *Vorbringen von Beschwerden durch den Patriarchen von Konstantinopel* (17—19). *Vergehen des Metropoliten von Tyros* (20—26) *sowie des Metropoliten von Germanikopolis* (27—33). *Erwähnung von tadelnswerten Vorkommnissen im Hodegon-Kloster* (34—38). *Aufforderung zur öffentlichen Verlesung des Schreibens, Warnung vor Feinden* (39—42). *Schlußgruß* (43). *Unterschrift* (44—46).

Pittakion an den (Patriarchen) von Antiocheia, Herrn Pachomios, geschrieben im Januar der 14. Indiktion

Heiligster Herr, Patriarch der Gottesstadt, des großen Antiocheia, und des gesamten Ostens, im Heiligen Geist geliebter priesterlicher Mitbruder!

Ich bete zu Gott, daß Deine Heiligkeit zur Stärkung und zum Nutzen des ihr unterstehenden Christenvolkes auch körperlich gesund ist.

Von den hier eingetroffenen Gesandten Deiner Heiligkeit und der heiligen Synode um Dich, dem heiligsten Metropoliten von Laodikeia und Hypertimos, unserem im Herrn geliebten priesterlichen Mitbruder, und dem hochwürdigsten Chartophylax, dem Priester Herrn Ioseph, hat unsere Bescheidenheit und die um sie

ἐγνώρισε καὶ ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν ἱερὰ καὶ μεγάλη σύνοδος τὰ περὶ τῆς ἁγιωσύνης σου· ἡμεῖς οὖν καὶ πρότερον πατριάρχην σε εἴχομεν Ἀντιοχείας καὶ νῦν πάλιν, ἐπειδὴ ἐπληροφορήθημεν, ὅτι ἡ αὐτόθι σύνοδος τῶν ἀρχιερέων στέργει σε πατριάρχην, στέργομεν τοῦτο καὶ ἡμεῖς καὶ ἔχομέν σε ἀδελφὸν καὶ συλλειτουργὸν καὶ ἤδη, καθὼς ὁρᾷς, καὶ γράφομέν σοι τὰ περὶ τούτου. ἵνα γνωρίσῃς· τοῦτο μόνον γράφομεν τῇ ἁγιωσύνῃ σου, δι᾽ ὃ λυπούμεθα, καὶ ἔνι ἀναγκαῖον, ἵνα διορθώσηται τοῦτο αὕτη μετὰ τῆς οἰκείας συνόδου.

Ἀπὸ τῶν αὐτόθι ἀρχιερέων πάσχομεν δεινὰ πολλὰ δι᾽ ὅλου τοῦ χρόνου. καὶ τὰ μὲν προγεγονότα πολλὰ καὶ βαρέα ἀφίημι πρὸς τὸ παρόν, λέγω δὲ νῦν τὰ παρὰ τοῦ Τύρου διόλου γινόμενα· περιπατεῖ γὰρ εἰς τὴν ἐνορίαν μου καὶ ἱερουργεῖ καὶ χειροτονεῖ καὶ συνάγει χρήματα καὶ πράττει πᾶσαν παρανομίαν. ἔνι γοῦν ἀναγκαῖον, ἵνα κρίνητε αὐτὸν αὐτόθι κανονικῶς ἤ, εἴπερ οὐδὲν δύνασθε ποιῆσαι τοῦτο, δότε ἡμῖν ἄδειαν καὶ προτροπήν, ἵνα ποιήσωμεν τοῦτο.

Τί δὲ ὁ Γερμανικοπόλεως; δύο ἐκκλησίας ἔλαβεν ἡμετέρας, τὴν Ἀττάλειαν καὶ τὸ Σίλαιον, τῇ ἐξουσίᾳ τοῦ εὑρισκομένου ἐκεῖ ἀμηρᾶ καὶ κρατεῖ ταύτας, ὡς γνήσιος αὐτῶν μητροπολίτης. ἃς γράψῃ οὖν ἡ ἁγιωσύνη σου πρὸς ἐκεῖνον καὶ ἃς τὸν ἀφορίσῃ, ἵνα ἀποστῇ τῆς παρανομίας ταύτης· δὸς δὲ καὶ ἡμῖν ἄδειαν, ἵνα ἀφορίσωμεν αὐτόν. ἐὰν γὰρ γένηται διόρθωσις εἰς ταῦτα, οὕτω μέλλομεν διάγειν εἰρηνικῶς καὶ ἡνωμένοι εἶναι καὶ κοι|νωνικοί.

Τί δὲ τὰ γινόμενα ἐν τῷ μοναστηρίῳ τῆς Ὁδηγητρίας; ἐρώτησον τὸν Λαοδικείας, ἵνα εἴπῃ, πῶς ἐφθάρη καὶ ψυχικῶς καὶ σωματικῶς. αὐτόθεν γὰρ ἐπιμέλεια οὐδὲν γίνεται· ἡμεῖς καὶ οὐδὲν ποιοῦμεν τί, καὶ γινωσκέτω ἡ ἁγιωσύνη σου, ὅτι τέλεον ἐφθάρη καὶ ἔνι ἀναγκαῖον, ἵνα γένηται καὶ εἰς τοῦτο διόρθωσις.

Τὸ παρὸν γράμμα ἀναγνωσθήτω ἐν πάσῃ τῇ ὑπὸ σὲ συνόδῳ καὶ τῷ κλήρῳ καὶ τῇ λοιπῇ ἐνορίᾳ, ἵνα γνωρίσωσι πάντες τὴν περὶ τῆς ἁγιω-

---

18 δι᾽ ὃ] διὸ V, MM || 20 διόλου V || 21 ταμὲν V || 27 Γερμανιπόλεως MM || 28 τοῦ] litt. ο ex corr. V || 30 ἀφορίσῃ] litt. ι ex corr. V || 35 Λαοδικείας] litt. ει ex corr. V || 36 αὐτόθι MM || 37 γινωσκέτω] litt. κ legi non potest

versammelte heilige große Synode (alles) erfahren, was Deine Heiligkeit (betrifft). Für uns warst Du auch früher Patriarch von Antiocheia, und nun, da wir informiert wurden, daß die dortige Synode der Erzpriester Dich als Patriarchen anerkennt, erkennen auch wir dies wieder an und betrachten Dich als priesterlichen Mitbruder und, wie Du siehst, schreiben wir Dir schon diesbezüglich. Du sollst wissen: Wir schreiben Deiner Heiligkeit nur das, was uns Kummer bereitet, und es ist erforderlich, daß sie (= Deine Heiligkeit) dies mit Ihrer Synode in Ordnung bringt.

Von den dortigen (= dem Patriarchat Antiocheia unterstehenden) Erzpriestern erdulden wird die ganze Zeit über viel Schlimmes. Ich übergehe einstweilen die vielen gravierenden Ereignisse, die vorhergegangen sind, und spreche jetzt von dem, was der (Metropolit) von Tyros ständig treibt. Er zieht nämlich in meinem Sprengel umher, übt das Priesteramt aus, weiht (Priester), sammelt Geld und begeht jede Ungesetzlichkeit. Es ist daher notwendig, daß Ihr über ihn dort nach dem kanonischen Recht befindet, oder gebt uns, wenn Ihr das nicht tun könnt, die Erlaubnis und Ermächtigung, dies zu tun.

Und der (Metropolit?) von Germanikopolis? Er hat zwei von unseren Kirchen, Attaleia und Sylaion, mit Unterstützung des dort befindlichen Emirs (in Besitz) genommen und hat diese inne, als (ob er) ihr legitimer Metropolit (wäre). Deine Heiligkeit möge also an ihn schreiben und ihn exkommunizieren, damit er von dieser Ungesetzlichkeit abläßt. Gib aber auch uns die Erlaubnis, ihn zu exkommunizieren. Wenn (dieser Übelstand) nämlich behoben wird, werden wir in Frieden leben und vereint und in Gemeinschaft sein.

Was aber ist im Hodegetria-Kloster vorgefallen? Frage den (Metropoliten) von Laodikeia, damit er Dir sage, wie (dieses Kloster) geistig und körperlich verdorben ist. Dort (in Antiocheia) kümmert man sich nicht darum. Wir unternehmen auch nichts, und Deine Heiligkeit soll wissen, daß es (= das Kloster) vollkommen verdorben ist und es daher notwendig ist, diesbezüglich Abhilfe zu schaffen.

Das vorliegende Schreiben möge vor der gesamten Dir unterstehenden Synode, dem Klerus und der übrigen (Kirchengemeinde)

σύνης σου ἡμετέραν γνώμην· μόνον ἀπὸ τῶν ἐχθρῶν σου φύλαττε τοῦτο, μήποτε τὸ ἀπολέσῃς.

Ἔρρωσο ἐν Κυρίῳ, ἁγιώτατε δέσποτα καὶ ἀδελφέ.

Εἶχε καὶ τό· *Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης* διὰ τῆς θείας πατριαρχικῆς χειρός †.

---

41 σου^2] litt. σ ex τ corr. V || 43 Κυρίῳ] litt. ω ex corr. V

256

Philotheos Kokkinos teilt den Metropoliten und der Kirchengemeinde des Patriarchats von Antiocheia seine Anerkennung des Pachomios I. als Patriarch von Antiocheia mit (Begleitschreiben zu vorangehender Nr. 255).

V 47, f. 216v — ⟨Januar 1376⟩
MM I 415—416 (Nr. 180) — (vgl. γράψῃ καὶ παραδηλώσῃ [Z. 12]
Dar. Reg. 2669 — bzw. γράφει [Z. 24])

Erwähnte Urkunden und Gesetze:

a) gefälschtes Schreiben des Patriarchen ⟨Philotheos Kokkinos⟩, laut welchem dieser die (Wieder)wahl des Pachomios ⟨I.⟩ zum Patriarchen von Antiocheia nicht anerkenne (γράμμα: Z. 8 und 13)
b) Schreiben der Synode von Antiocheia an den Patriarchen ⟨Philotheos Kokkinos⟩ von Konstantinopel, überbracht vom Metropoliten N. von Laodikeia und vom Chartophylax ⟨Ioseph⟩: Mitteilung der (Wieder)wahl des Pachomios ⟨I.⟩ zum Patriarchen von Antiocheia (συνοδικὰ γράμματα: Z. 22—23) (vgl. auch Nr. 255, erwähnte Urkunde b)
c) mögliche weitere gefälschte Schreiben des Patriarchen ⟨Philotheos Kokkinos⟩ an die Synode von Antiocheia (γράμματα ... παρ' ἐμοῦ δῆθεν: Z. 26 bis 27).

† Οἱ ὑπὸ τὴν ἐνορίαν τοῦ πατριαρχικοῦ θρόνου τῆς μεγάλης Ἀντιοχείας ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοί, ἔτι τὲ οἱ τοῦ

2—6 ἐν ἁγίῳ πνεύματι—παντοκράτορος om. MM (κ. τ. λ.)

des Sprengels verlesen werden, damit alle erfahren, wie wir Deiner Heiligkeit gesinnt sind. Nur vor Deinen Feinden hüte es, damit Du es nicht verlierst.

Lebe wohl im Herrn, heiligster Herr und Bruder!

Das (Original) trug auch (folgende Unterschrift) von der göttlichen Hand des Patriarchen: „Philotheos, durch Gottes Erbarmen Erzbischof von Konstantinopel, des Neuen Rom, und ökumenischer Patriarch".

256

Vokativische Anrede der Empfänger (1—5). *Segenswünsche* (5—6). *Kenntnis des Patriarchen von einem gefälschten, angeblich von ihm stammenden Schreiben an die Synode des Patriarchats von Antiocheia, laut welchem er Pachomios I. im Falle von dessen (Wieder)wahl zum Patriarchen von Antiocheia exkommunizieren werde* (7—11). *Versicherung, daß es sich um eine Fälschung handle* (11—15). *Exkommunikation und Anathematisierung der Fälscher* (15—17). *Versicherung der Anerkennung der Beschlüsse der Synode von Antiocheia* (17—20). *Anerkennung der jüngst aus Antiocheia übermittelten Synodalschreiben* (20—23). *Verweis auf die tatsächlichen Ansichten des Patriarchen und Warnung vor anderslautenden Aussagen und gefälschten Schreiben* (23—27).

Heiligste Metropoliten und Hypertimoi im Sprengel des Patriarchenthrones des Großen Antiocheia, im Heiligen Geist geliebte priesterliche Mitbrüder unserer Bescheidenheit, sowie alle

κλήρου ἅπαντες, οἱ ἱερωμένοι, οἱ ἄρχοντες καὶ ὁ λοιπὸς τοῦ Κυρίου λαὸς ὁ χριστώνυμος, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν ἅπασιν εἴη καὶ εἰρήνη ἀπὸ Θεοῦ παντοκράτορος.

Ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὅτι διεκομίσθη παρά τινων αὐτόθι πρὸς ὑμᾶς γράμμα ψευδὲς καὶ πεπλασμένον, ὡς δῆθεν παρ' ἡμῶν, διαλαμβάνον, ὅτι, ἐὰν γένηται πατριάρχης ὁ κῦρ Παχώμιος, ἡμεῖς οὐδὲν στέργομεν αὐτόν, ἀλλὰ ἀφωρισμένον ἔχομεν καὶ αὐτὸν καὶ τοὺς κοινωνοῦντας αὐτῷ καὶ στέργοντας αὐτόν. διατοῦτο ἔδοξε καλὸν τῇ ἡμῶν μετριότητι, ἵνα γράψῃ καὶ παραδηλώσῃ ὑμῖν περὶ τοῦ εἰρημένου ψευδοῦς γράμματος. γινώσκετε οὖν ἅπαντες, ὅτι τὸ γράμμα ἐκεῖνο οὐκ ἦν ἡμέτερον οὐδὲ τῆς ἡμετέρας χειρὸς ἢ γνώμης, ἀλλὰ ψευδὲς καὶ ἐπίπλαστον καὶ πεφαλσευμένον καὶ ἔχει τοῦτο ἡ μετριότης ἡμῶν καὶ ἀφωρισμένον καὶ ἀναθεματισμένον καὶ τὸν πλάσαντα καὶ ἐργασάμενον τοῦτο ἔχω ἀσυγχώρητον, ὁποῖος ἂν εἴη. οὐδὲ γὰρ ἔχομεν συνήθειαν | ἡμεῖς ἐξετάζειν καὶ ἀνακρίνειν τὰς ὑμετέρας πράξεις, ἀλλὰ τὰ παρ' ὑμῶν αὐτόθι συνοδικῶς γινόμενα στέργομεν καὶ ἡμεῖς καὶ δεχόμεθα ἀναμφιβόλως καὶ ἀνεξετάστως. διὸ καὶ τοὺς παρ' ὑμῶν ἐνταῦθα πεμφθέντας πρέσβεις, τόν τε ἱερώτατον μητροπολίτην Λαοδικείας καὶ τὸν ἐντιμότατον χαρτοφύλακα, καὶ ἐδεξάμεθα καὶ ἀπεδεξάμεθα καὶ τὰ συνοδικὰ γράμματα, ἅπερ ἔφερον, καὶ ἐστέρξαμεν καὶ στέργομεν. διατοῦτο καὶ γράφει πρὸς ὑμᾶς ἡ μετριότης ἡμῶν, ἵνα γινώσκητε τὴν ἡμετέραν γνώμην καὶ τῆς ἡμετέρας συνόδου. εἴ τις οὖν ἔλθοι πρὸς ὑμᾶς ἄλλα λέγων παρὰ ταῦτα, μηδὲν πιστεύσητε αὐτῷ, καὶ γράμματα ἐὰν φέρῃ παρ' ἐμοῦ δῆθεν, μηδὲν στέρξητε. ||

20—22 τοὺς—χαρτοφύλακα] cf. linn. 8—10 documenti praecedentis

---

8 δῆθα MM || 12 γράφη MM || 15 πεφαλσσευμένον V || 18 ὑμετέρας] ἡμετέρας V; ὑμετέρας scripsimus cum MM || 19 δεχόμεθα] litt. θα ex corr. V || 24 ὑμᾶς] ἡμᾶς V; ὑμᾶς scripsimus cum MM || 27 post f. 216v in V duo folia abscissa sunt (scriptura carentia? textus deesse non videtur; sed documentum sub littera b in commentario ad documentum 247 pertinente laudatum [depositionem scilicet Cyrilli metropolitae a Callista patriarcha pronuntiatam, quae in codice V inveniri non potest] ne neglexeris)

Mitglieder des Klerus, Priester, Archonten und übriges Christenvolk des Herrn, im Herrn geliebte Kinder unserer Bescheidenheit! Möge Euch allen Gnade und Frieden von Gott dem Allherrscher zuteil werden.

Unsere Bescheidenheit hat erfahren, daß von irgendwelchen Leuten ein lügenhaftes und fingiertes, angeblich von uns stammendes Schreiben dort(hin) (= in den Sprengel von Antiocheia) zu Euch gebracht wurde, das besagt, daß, falls Herr Pachomios Patriarch wird, wir diesen nicht anerkennen, sondern ihn samt denjenigen, die mit ihm Gemeinschaft pflegen und ihn anerkennen, als exkommuniziert betrachten. Deswegen hielt es unsere Bescheidenheit für richtig, Euch zu schreiben und bezüglich des besagten falschen Schreibens (unsere Meinung) kundzutun. Wisset nun alle, daß jenes Schreiben nicht von uns stammte, weder von unserer Hand verfaßt wurde noch unsere Ansichten wiedergab, sondern daß es unsere Bescheidenheit für lügenhaft und gefälscht und fingiert erklärt; und ich belege denjenigen, der (dieses Schreiben) gefälscht und hergestellt hat, mit der Exkommunikation und dem Anathema und gewähre (ihm) keine Verzeihung, wer auch immer er sei. Es entspricht nämlich nicht unserer Gewohnheit, Eure Handlungen zu überprüfen und (über sie) (richterlich) zu entscheiden, sondern das, was dort von Euch in der Synode beschlossen wird, erkennen auch wir an und akzeptieren es ohne Zweifel und Überprüfung. Daher haben wir auch die von Euch hierher entsandten Gesandten, den heiligsten Metropoliten von Laodikeia und den hochwürdigsten Chartophylax, empfangen und aufgenommen, und die von ihnen überbrachten Synodalschreiben anerkannten wir und anerkennen wir. Deswegen schreibt auch unsere Bescheidenheit an Euch, damit Ihr unsere Ansicht und die unserer Synode erfahrt. Wenn nun jemand zu Euch kommt und Dinge sagt, die davon abweichen, glaubt ihm nicht, und wenn er Schreiben bringt, die angeblich von mir stammen, erkennt sie nicht an!

257

Kallistos I. und die Synode sprechen sich gegen eine grundsätzliche synodale Behandlung von Vergehen gegen das Eherecht aus, die von dem Metropoliten Iakobos von Chalkedon und dem designierten Metropoliten von Thessalonike, Neilos Kabasilas, in einem von ihnen dem Kaiser Ioannes V. vorgelegten Memorandum gefordert worden war.

V 47, f. 217ʳ—219ʳ	⟨Anfang/Mitte 1361⟩
MM I 416—423 (Nr. 181)	(vgl. ἀπόφασις [Z. 240])
PG 152, 1368—1373	
Dar. Reg. 2432	
Mazal 365	

Erwähnte Urkunden und Gesetze:

a) Prostagma des Kaisers ⟨Ioannes V. Palaiologos; Dö. Reg. 3076 und 3077[1]; dort auf 1361/1362 datiert⟩, das die kanonische Untersuchung der in b) genannten Mißstände befiehlt ([θεῖον καὶ] σεπτὸν πρόσταγμα: Z. 21 und 217; ἔγγραφος προσταγή: Z. 39; in Z. 23—27 [εἴπερ—θεραπείαν] möglicherweise wörtliches Zitat aus dieser Urkunde)

b) Denkschrift des Metropoliten ⟨Iakobos⟩ von Chalkedon sowie des designierten Metropoliten von Thessalonike, Neilos Kabasilas, betreffend systematische Vergehen gegen das Eherecht und andere kanonische Rechtsbrüche einschließlich der Bitte um deren Korrektur (κατάστιχον: Z. 30, 43, 50, 68, 214 und 223)

c) Synodalbeschluß (unmittelbar vor Ausfertigung der vorliegenden Urkunde): synodale Ablehnung von b) (συνοδικὴ διάγνωσις καὶ κοινὴ ψῆφος: Z. 66—67; vgl. auch ἐκρίθη περισσὸν ... τὸ ... κατάστιχον [Z. 49—50])

d) verschiedene schriftliche (und nichtschriftliche) Entscheidungen des Patriarchen ⟨Kallistos I.⟩ in kanonischen Fragen (vgl. [πατριάρχῃ] ἐγγράφως καὶ ἀγράφως προμηθευσαμένῳ [Z. 53—54]; καὶ κοινῇ καὶ ἰδίᾳ τὴν διόρθωσιν ἐγγράφως τὲ καὶ ἀγράφως πραγματευομένης [Z. 212—213]; πολλάκις καὶ διαφόρως ... γενέσθαι ἐξέτασιν συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος [Z. 220—221]; vgl. auch unten, die Urkunden g und k)

e) synodale Aufhebung der Absetzung des Metropoliten ⟨Symeon⟩ von Alania, ⟨gegen Herbst 1360; Dar. Reg. 2423⟩ (vgl. συνοδικὴν διόρθωσιν καὶ ἀποκατάστασιν [Z. 57])

[1] Dar. Reg. 2432 („Critique 1") plädiert zu Recht dafür, daß es sich um ein einziges kaiserliches Prostagma handelt.

257

ἰδίᾳ τὴν διόρθωσιν ἐγγράφως τὲ καὶ ἀγράφως πραγματευομένης, οὐ συνορᾶν ἔχομεν, ὅπως διὰ ταῦτα προεκομίσθη τὸ τοιοῦτον κατάστιχον εἰς τὴν ἡμῶν μετριότητα, τὴν μάλιστα πάντων, Θεοῦ συναιρομένου, ὑπὲρ τῆς αὐθεντίας τῶν ἱερῶν κανόνων ἀγωνιζομένην τὲ καὶ σπουδάζουσαν· εἰ δέ τις εἴποι, ὅτι διὰ τὸ ἀποταχθῆναι σεπτῷ προστάγματι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος τὴν τούτων γενέσθαι ἀνάπτυξίν τε καὶ ζήτησιν ἦν ἀναγκαῖον προκομισθῆναι ταῦτα ἐπὶ τοῦ μέσου, φαμὲν πρὸς αὐτόν, ὡς, εἰ μὲν οὐκ ἔφθασε πολλάκις καὶ διαφόρως προβῆναι καὶ γενέσθαι ἐξέτασιν συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος καὶ ἀναστολὴν τὴν προσήκουσαν καὶ ἐκδίκησιν ἐπὶ τούτοις καὶ πρότερον, ὡς ἱκανῶς ἀποδέδεικται, καὶ νῦν ἤδη, εἶχε χώραν ὁ διὰ τοῦ τοιούτου καταστίχου κινούμενος λόγος, δι' ὃ καὶ τὰ σκάνδαλα γέγονε πρὸ ὀλίγου· ἐπεὶ δέ — τοσούτου ἀγῶνος παρ' ἡμῶν κατὰ τῶν τοιούτων ἀθεμίτων ἔργων γεγονότος καὶ ἀξίας καὶ ἐγχωρούσης τῆς ἐπεξελεύσεως γενομένης καὶ τῆς ἐκκλησίας Θεοῦ ἐν οὐδενὶ καιρῷ καὶ πράγματι τοσύνολον γνώμην καὶ κοινωνίαν καὶ βούλησιν εἰς ταῦτα ἐχούσης, μᾶλλον μὲν οὖν ἀποτρεπομένης ταῦτα καθάπαξ καὶ ἐπιτίμησιν κατὰ τῶν τοιούτων ἐπανατεινομένης — οὐκ ἀναγκαία φαίνεται οὐδὲ συμβαίνουσα τῇ τῆς ἐκκλησίας ὁμονοίᾳ ἡ τούτων ζήτησις καὶ πολλὴ ἔρευνα, ὡς ταύτης δὴ τῆς ἐκκλησίας προθυμουμένης ἀεὶ τὰ τοιαῦτα ἐκκόπτειν καὶ ἀναστέλλειν ὡς ἀθέμιτα καὶ παράνομα. τὸ γὰρ παρρησιάζεσθαι ταῦτα καὶ ἀεὶ παρεισάγεσθαι, λαβόντα, καθ' ὃν εἴρηται τρόπον, τὴν θεραπείαν καὶ μὴ συγχωρούμενα γίνεσθαι καὶ προβαίνειν, ἀλλὰ καθάπαξ ἀναστελλόμενα, οὐ μόνον ταραχὴν ἐπεγείρει, ἀλλὰ καὶ μῶμον | καὶ ὕβριν τῇ ἐκκλησίᾳ προστρίβει Θεοῦ κατὰ τὰς ἐξενηνεγμένας γνώμας τῶν ἱερωτάτων ἀρχιερέων, ἔτι γε μὴν καὶ τοῦ ἁγιωτάτου δεσπότου καὶ ἀδελφοῦ μου, τοῦ πατριάρχου Ἱεροσολύμων, αἷς κατὰ πάντα στοιχοῦσα καὶ ἡ μετριότης ἡμῶν τὴν παροῦσαν ἤδη ἀπόφασιν ἐποιήσατο, στέργουσα καὶ ἣν ἐποιήσατο συνοδικῶς ὑπὸ συμπαθείας συγχώρησιν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχηταρίου.

221 συνοδικὴν MM || 222 ἐπὶ] litt. ὶ ex corr. V || 224 δι' ὃ] διὸ V || 224 usque ad 233 ἐπεὶ—παράνομα] sic V (sententia primaria deest!) || 225 κατὰ] μετὰ MM || 226 ἀξίας] supra ί litt. ο (sic) suppl. V || 227 τοσύνολον] sub voce lin. ducta in V; τοσαύτην MM || 229 κατὰ om. MM || 231 ἔρευνα] litt. ν ex corr. V || 239 οἷς MM | στοιχοῦσα] litt. ο ex ι corr. V

lich die Korrektur in schriftlicher so wie nichtschriftlicher Form betreibt, sehen wir nicht ein, warum deswegen unserer Bescheidenheit die gegenständliche Denkschrift vorgelegt wurde, während sie (= unsere Bescheidenheit) doch am meisten von allen mit Gottes Hilfe für die Autorität der heiligen Kanones kämpft und um sie bemüht ist. Wenn aber jemand sagt, daß die Darlegung dieser Punkte und ihre Untersuchung mit einem verehrungswürdigen Prostagma meines mächtigsten und heiligen Kaisers angeordnet wurde und aus diesem Grund die öffentliche Vorlage dieser Punkte notwendig war, halten wir ihm (folgendes) entgegen: Wenn nicht bereits oft und verschiedentlich auf Veranlassung unserer Bescheidenheit eine synodale Untersuchung und die angebrachte Unterbindung und Ahndung bezüglich dieser (Vorfälle) auch früher, wie ausreichend bewiesen wurde, so wie auch jetzt erfolgt und geschehen wäre, hätte die durch die gegenständliche Denkschrift ausgelöste Diskussion eine Berechtigung, auch deswegen, weil sich die Ärgernisse vor kurzem ereigneten. Da aber die gegenständlichen ungesetzlichen Handlungen von uns intensiv bekämpft wurden und ein angemessenes und mögliches Eingreifen stattfand und die Kirche Gottes zu keiner Zeit und in keiner Sache überhaupt daran beteiligt war noch sie gewollt oder gewünscht hatte, sondern vielmehr diese ein für allemal abzuwenden versuchte und sie mit Strafe bedrohte, erscheint die Untersuchung (dieser Mißstände) und deren eingehende Ausforschung weder notwendig noch der Eintracht der Kirche förderlich, da ja diese Kirche stets bestrebt ist, die besagten (Mißstände) als unerlaubt und gesetzwidrig auszurotten und zu unterbinden. Denn diese (Mißstände) öffentlich zu behandeln und immer wieder vorzubringen, obwohl sie die Heilung auf die erwähnte Art erfahren haben und obwohl (ihr) Zustandekommen und (ihre) Verbreitung nicht hingenommen, sondern ein für allemal unterbunden werden, erzeugt nicht nur Aufruhr, sondern trägt laut den Stellungnahmen der heiligsten Erzpriester sowie des heiligsten Herrn, meines Bruders, des Patriarchen von Jerusalem, der Kirche Gottes auch Tadel und Schimpf ein. Diesen (Stellungnahmen) stimmt auch unsere Bescheidenheit völlig zu und hat bereits die vorliegende Entscheidung gefällt; weiters bleibt sie bei der von ihr gemeinsam mit der Synode aus Mitleid gewährten Verzeihung für den Priester Machetarios.

Θεὸς δὲ ἄνωθεν ἐπιβραβεύσειε τῇ ἐκκλησίᾳ αὐτοῦ εἰρήνην ἐν παντὶ καὶ ὁμόνοιαν πνευματικὴν τῶν σκανδάλων πάντων γεγονότων ἐκ μέσου, καθὼς ἀεὶ ἐπευχόμεθα» †. ||

258

Kallistos I. überträgt dem Alexios Sophianos die Verwaltung des Monydrion der Theotokos Barangiotissa in Konstantinopel auf Lebenszeit.

V 47, f. 219^v—220^r — μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ιδ^ης' (Z. 69)
MM I 423—425 (Nr. 182) — Februar ⟨1361⟩
Dar. Reg. 2433 — γράμμα (Z. 68)

Erwähnte Urkunden und Gesetze:

a) Übergabeurkunde des Plynareion-Klosters für Geraios Mikrokephalos betreffend das Monydrion der Theotokos Barangiotissa (ἐκδοτήριον γράμμα: Z. 5)
b) ⟨Übergabeurkunde des Plynareion-Klosters⟩ für die Nonne N. Marulina, betreffend das Monydrion der Theotokos Barangiotissa (vgl. εἴληφε [Z. 10]) (schriftliche Ausfertigung?)
c) schriftliche Verpflichtung der Nonne N. Marulina, für die Instandhaltung des Monydrion der Theotokos Barangiotissa zu sorgen (vgl. ὑποσχεθεῖσα [Z. 13] bzw. ὑποσχεθεῖσαν [Z. 23]) und dem Monydrion ihr gehörige Werkstätten zu übertragen (vgl. προσκυρῶσαι καὶ ἀφιερῶσαι [Z. 25—26])
d) (schriftliche?) Abweisung des Begehrens der Verwandten des Geraios Mikrokephalos auf Anerkennung des Stifterrechtes bezüglich des Monydrion der Theotokos Barangiotissa durch den Patriarchen ⟨Kallistos I., möglicherweise im Kontext der folgenden Urkunde⟩ (vgl. ἀποπεμφθέντων [Z. 18])
e) Urkunde des Patriarchen ⟨Kallistos' I.; wohl 1350—1353; Dar. Reg. 2386 [mit Datierung auf „1355—1360"]⟩: Übertragung der Leitung und Verwaltung des Monydrion der Theotokos Barangiotissa an die Nonne N. Marulina (γράμμα: Z. 23)
f) Exkommunikation der Nonne N. Marulina durch den Patriarchen ⟨Kallistos I.; Dar. Reg. 2419 [mit Datierung auf „1360"]⟩ und Absetzung von der Leitung des Monydrion der Theotokos Barangiotissa wegen Anhängerschaft an die Lehren des Barlaam und Akindynos (vgl. ἀπεκόπη [Z. 40]; τῆς ... ἐφορείας καὶ προστασίας ἐξέστη [Z. 40—41]).

Möge Gott von oben seiner Kirche in allem Frieden und geistliche Eintracht schenken, wenn alle Ärgernisse beseitigt sind, wofür wir stets beten".

258

Übertragung des Monydrion der Theotokos Barangiotissa an Geraios Mikrokephalos (1—9). *Nach dessen Tod Übertragung an die Nonne N. Marulina* (9—13). *Geltendmachung der Rechtsnachfolge des Mikrokephalos durch dessen Verwandte und deren Abweisung wegen versuchter Aneignung des Klostereigentums* (14—21). *Übertragung an die Nonne N. Marulina mit Urkunde* (22—26). *Abfall der N. Marulina zu den Lehren des Barlaam und Akindynos und deren Verbreitung im Kloster* (26—33). *Nach wiederholter Ermahnung seitens des Patriarchen Exkommunikation der N. Marulina und Absetzung von der Leitung des Klosters* (33—42). *Ansuchen des Alexios Sophianos um Übertragung der Verwaltung des Klosters* (43—48). *Übertragung des Klosters samt Stifterprivilegien an Alexios Sophianos durch den Patriarchen auf Lebenszeit unter der Bedingung, daß dieser für die Abhaltung der Liturgie, die Beleuchtung und Ausschmückung der Kirche sowie den Unterhalt der Nonnen sorge* (48—63). *Rückfall des Klosters an die Große Kirche nach dem Tode des Sophianos* (64—66). *Ausstellungsvermerk* (67—68). *Datierung* (69—70).

219r † Ἐπεὶ τὸ ὄπισθεν τοῦ ἱεροῦ βήματος τοῦ παμμεγίστου καὶ θειοτάτου ναοῦ τῆς τοῦ Θεοῦ λόγου Σοφίας διακείμενον μονύδριον εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένον τῆς Βαραγγιωτίσσης ἔσχε πρὸ ἱκανῶν ἤδη χρόνων Γηραιὸς ὁ Μικροκέφαλος ἐκεῖνος δι᾽ ἐκδοτηρίου γράμματος παρὰ τοῦ μέρους τῆς σεβασμίας μονῆς τῶν Πλυναρείων, ἐφῷ συστῆσαι καὶ βελτιῶσαι αὐτό, ὅστις δῆτα καὶ τὰ κατὰ δύναμιν ἐπεδείκνυτο καὶ πρὸς βουλήσεως ἦν ἐκείνῳ καὶ μείζονα τὴν ὑπὲρ τούτου σύστασιν καὶ ἐπιμέλειαν ἐνδείξασθαι, προϊόντος τοῦ χρόνου, μήπω δὴ τούτου φθάσαντος τὰ κατὰ γνώμην καὶ βούλησιν ἐκπληρῶσαι, τὸν βίον ἀπολιπόντος, εἴληφε τὸ τοιοῦτον μονύδριον μοναχὴ κυρᾶ ⟨± 5⟩ ἡ Μαρουλίνα, ὥστε τὸ δέον αὕτη ἀναπληρῶσαι καὶ ὡς ἐφικτὸν βελτιῶσαι καὶ συστῆσαι αὐτὸ ἐξ οἰκείων αὐτῆς πραγμάτων, τοῦτο ἐπὶ τῆς ἡμῶν μετριότητος πολυτρόπως ὑποσχεθεῖσα, ὅτε δὴ καὶ οἱ ἐκ γένους τῷ διαληφθέντι Μικροκεφάλῳ προσήκοντες οὐ μικρὰν τὴν ὄχλησιν προεξένησαν ἀναζητοῦντες τὸ τοιοῦτο μονύδριον λόγῳ παντελοῦς δεσποτείας ἰδιοποιήσασθαι, προβαλλόμενοι δῆθεν κτητορικὸν δίκαιον ἔχειν ἐπὶ τούτῳ ἀπὸ τῆς διαδοχῆς τοῦ πάππου αὐτῶν, τοῦ Μικροκεφάλου ἐκείνου, ὧν δῆτα καὶ ἀποπεμφθέντων, ὡς οὐ μόνον σύστασίν τινα καὶ βελτίωσιν τούτου ἐπιδεικνυμένων καὶ πειρωμένων οὐχ ὑγιαινούσῃ καὶ πλεονεκτικῇ γνώμῃ ἀφαιρεῖσθαι καὶ παρανοσφίζεσθαι κατ᾽ ἐξουσίαν τὰ περιερχόμενα ὀλίγα πάνυ καὶ ἀνήκοντα τῷ ναῷ, ἐδόθη ἡ τούτου ἐφορεία καὶ διοίκησις καὶ διεξαγωγὴ πρὸς τήνδε τὴν Μαρουλίναν διὰ γράμματος τῆς ἡμῶν μετριότητος, ὑποσχεθεῖσαν, ὡς διείληπται, φροντίζειν ὡς εἰκὸς τῆς | τούτου ἐπιμελείας καὶ τῆς ἐπὶ τὸ κρεῖττον βελτιώσεως καὶ ἐπαυξήσεως, πρὸς δὲ προσκυρῶσαι καὶ ἀφιερῶσαι καὶ τὰ προσόντα αὐτῇ ἐργαστήρια πρὸς τόδε τὸ μονύδριον· ἥτις καὶ ἐπιλαβομένη τούτου οὐ μόνον τὶ τῶν ὑπησχημένων δεόντως ἐνεδείξατο, ἀλλὰ καὶ τοῖς κακοῖς δόγμασι τῆς τοῦ Βαρλαὰμ τε καὶ Ἀκινδύνου συνδιαφθαρεῖσα καί, ἀνθ᾽ ὧν ἔδει ταύτην καταρτίζειν ἐπὶ τὸ βέλτιον τὰς ἐν τῷ τοιούτῳ μονυδρίῳ ἀσκουμένας μοναχάς, αὕτη μᾶλλον τἀναντία

2 ante εἰς vocem τὸ perperam suppl. MM || 4 Γυραιὸς MM || 7 ἦν] μετ᾽ MM || 9 δὴ] an δὲ legendum? || 11 post κυρᾶ vacat spatium ca. 5 litt. (pro nomine Marulinae) in V; lacunam non indicaverunt MM | αὕτη] an αὐτὴν scribendum? || 12 καὶ[1] supra lin. scripsit V; om. MM || 13 post ὑποσχεθεῖσα voces ὡς διείληπται φροντίζειν canc. V (cf. linn. 23—24 huius documenti) || 16 παντελεῖ V, MM | προβαλόμενοι MM || 18 an post οὐ μόνον vox οὐ supplenda? || 20—21 παρενοσφίζεσθαι V, MM || 24 τῆς[2] supra lin. scripsit V || 27 an post δεόντως vox οὐκ supplenda? || 28 τῆς] sc. αἱρέσεως

Das hinter dem heiligen Altar(raum) der allergrößten und göttlichsten Kirche der Weisheit des Wortes Gottes gelegene Monydrion, das auf den Namen der überaus reinen Herrin und Gottesmutter geweiht ist und das Barangiotissa genannt wird, hatte vor etlichen Jahren bereits der verstorbene Geraios Mikrokephalos durch eine Übergabeurkunde seitens der Partei des verehrungswürdigen Klosters Ton Plynareion unter der Bedingung bekommen, es zu erhalten und zu verbessern. Er legte auch (entsprechende Bemühungen) im Rahmen des Möglichen an den Tag und war gewillt, in noch größerem Ausmaß für dessen Erhaltung und Pflege zu sorgen. Doch schritt die Zeit voran, und noch bevor er seinen Wunsch und sein Vorhaben erfüllen konnte, verstarb er. Das besagte Monydrion erhielt (darauf) die Nonne Frau ... Marulina, damit sie die(selbe) Verpflichtung erfülle und, soweit dies möglich sei, das (Monydrion) aus eigenen Mitteln verbessere und erhalte, was sie vor unserer Bescheidenheit vielfach versprochen hatte. Da nun verursachten die Verwandten des erwähnten Mikrokephalos keinen geringen Streit: Diese versuchten nämlich, sich das besagte Monydrion als volles Eigentum anzueignen, indem sie vorgaben, diesbezüglich ein angebliches Stifterrecht aus der Rechtsnachfolge ihres Großvaters, des verstorbenen Mikrokephalos, zu besitzen. Nachdem diese aber abgewiesen worden waren, da sie nicht nur nichts für die Erhaltung und Verbesserung dieses (Monydrion) an den Tag gelegt hatten, sondern in verderbter und habgieriger Haltung sogar versucht hatten, die gar geringen Einkünfte und das Eigentum der Kirche eigenmächtig zu entwenden und an sich zu bringen, wurde dessen (des Monydrion) Aufsicht, Verwaltung und Führung mit einer Urkunde unserer Bescheidenheit dieser Marulina übertragen, die wie erwähnt versprochen hatte, sich in gebührlicher Weise der Sorge um das (Monydrion), der Verbesserung und Förderung anzunehmen sowie darüber hinaus die ihr gehörenden Werkstätten diesem Monydrion zu übertragen und zu stiften. Als sie dann das (Monydrion) übernahm, machte sie nicht nur keine ihrer Versprechungen ihrer Verpflichtung entsprechend wahr, sondern ließ sich von den schlechten Lehrmeinungen der (Häresie) des Barlaam und des Akindynos verderben. Und anstatt die in diesem Monydrion lebenden Nonnen zum Besseren hin auszurichten, wie sie es hätte tun sollen, tat sie

εἰργάζετο, εἰς βόθρον ψυχικῆς λώβης οὐ μόνον ἑαυτήν, ἀλλὰ καὶ ταύτας ἀκοντίζουσά τε καὶ ἐπιρρίπτουσα, βουλομένη μεταδοῦναι καὶ ταῖς ὑγιῶς ἐχούσαις τῆς ψυχοβλαβοῦς ταύτης λύμης, πρὸς ἣν καὶ εἰσηγήσεσι διαφόρως χρησαμένη ἡ μετριότης ἡμῶν τρόπῳ οἰκονομίας, ὥστε χειραγωγῆσαι ταύτην εἰς τὰ τῆς ἀληθείας ὀρθὰ καὶ σωτήρια δόγματα καὶ ἐξελέσθαι ἀπὸ τοῦ πονηροῦ τούτου δόγματος καὶ μεταμαθεῖν τὴν ἀλήθειαν, ἡ δὲ καὶ αὖθις ἐνέμεινεν τοῖς τοιούτοις, ἀνιάτως ἔχουσα καὶ μὴ πεισθεῖσα ταῖς εἰσηγήσεσι καὶ ταῖς διδασκαλίαις τῆς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας, τοῦ κοινοῦ τῶν ψυχῶν ἰατρείου, καὶ διὰ τοῦτο ὡς σεσηπὸς μέλος ἀπεκόπη καὶ ἀπελάθη ἀπὸ τῆς τοῦ Θεοῦ ἐκκλησίας καὶ τῆς τοῦ τοιούτου μονυδρίου ἐφορείας καὶ προστασίας ἐξέστη, ὡς μηδαμῶς λυσιτέλειαν ἐν αὐτῷ ἐργαζομένη μήτε σωματικὴν μήτε μὴν ψυχικὴν ὅλως.

Τούτου οὖν οὕτω προχωρήσαντος ἠξίωσε καὶ ἐζήτησεν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξιος ὁ Σοφιανός, ὑπὸ τῆς ἐνούσης αὐτῷ φιλοθέου γνώμης καὶ ἀγαθῆς προαιρέσεως τὴν τοῦ τοιούτου μονυδρίου δέξασθαι ἐφορείαν, βούλησιν κατὰ ψυχὴν ἀγαθὴν κεκτημένος καὶ τρέφων, ὥστε τὸν ἐνόντα τρόπον αὐτῷ συστῆσαι καὶ βελτιῶσαι, ἡ μετριότης ἡμῶν, τὸν θεάρεστον αὐτοῦ τρόπον καὶ θεοφιλῆ σκοπὸν ἀποδεξαμένη καὶ διαποδοχῆς ὅτι μάλιστα ποιουμένη τὸ τὰ τοιαῦτα βελτιοῦσθαι καὶ εἰς τὸ κρεῖττον προάγεσθαι καὶ προκόπτειν παρὰ φιλοθέων ἀνδρῶν, μνηστευομένων διὰ τούτων ἑαυτοῖς τὴν ψυχικὴν σωτηρίαν, τὴν δέησιν αὐτοῦ προσδεξαμένη, πολὺ τὸ εὔλογον ἔχουσαν, τὸ παρὸν ἀπολύει, δι' οὗ δὴ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ὡς ἂν ἐπιλάβηται οὗτος τοῦ εἰρημένου μονυδρίου καὶ ἔχῃ διαπάσης αὐτοῦ τῆς ζωῆς τὴν ἐφορείαν καὶ διακράτησιν αὐτοῦ καὶ μνημονεύηται ἐν αὐτῷ καθὼς κτήτωρ, ἐπιμελούμενος καὶ φροντίζων κατὰ τὸν ἐνόντα αὐτῷ τρόπον θεάρεστον τῆς καλῆς διεξαγωγῆς καὶ συστάσεως αὐτοῦ καὶ τῆς ἐπὶ | τὸ

31 cf. Prov. 26, 27 || 39 τοῦ κοινοῦ τῶν ψυχῶν ἰατρείου] cf. adnotationem ad linn. 3—6 documenti 116 huius editionis spectantem || 52 μνηστευομένων usque ad σωτηρίαν] cf. Ps.-Io. Chrys. (= Severian. Gabal.), De poen. hom. 7, 1: (Θεὸς ...) μνηστευομένοις αὐτοῖς τὴν σωτηρίαν (*PG* 49, 323, linn. 3—2 ab imo)

36 pro ἐξελέσθαι lacunam indicaverunt MM || 39 τῆς κανονικῆς τῶν ψυχῶν ἰατρείας MM || 41 ὡς καὶ μηδαμῶς MM || 47 κατὰ ex corr. V || 48 an ante τὸν vox

vielmehr das Gegenteil und stürzte nicht nur sich selbst, sondern auch diese stracks in die Grube seelischen Schadens; denn sie beabsichtigte, auch die Gesunden mit diesem der Seele schädlichen Verderbnis anzustecken. In ihrer Nachsicht ließ unsere Bescheidenheit ihr verschiedentlich Anleitungen zuteil werden, um sie zu den richtigen und heilsamen Lehrmeinungen der Wahrheit zu führen, sie von dieser verderbten Lehrmeinung loszureißen und zur Wahrheit zu bekehren. Sie aber blieb ihrerseits bei ebendiesen (Lehrmeinungen), unheilbar und nicht zu überzeugen durch die Anleitungen und Belehrungen der heiligen Kirche Gottes, der gemeinsamen Heilstätte der Seelen. Daher wurde sie als ein verfaultes Glied von der Kirche Gottes abgetrennt und aus ihr ausgestoßen sowie von der Aufsicht und Führung des gegenständlichen Monydrion abgesetzt, weil sie in ihm in gar keiner Weise Nutzen bewirkte, weder für den Körper und schon gar nicht für die Seele.

Da diese Angelegenheit nun so verlaufen war, ersuchte und beantragte der Oikeios meines mächtigsten und heiligen Kaisers, der im Heiligen Geist wahrhafteste Sohn unserer Bescheidenheit, Herr Alexios Sophianos, in seiner ihm innewohnenden gottesliebenden Gesinnung und guten Absicht, die Aufsicht über das gegenständliche Monydrion zu übernehmen, da er in seiner Seele den guten Wunsch habe und hege, es nach der ihm innewohnenden Art zu bewahren und zu verbessern. Unsere Bescheidenheit heißt seine gottgefällige Art und seine gottliebende Absicht gut und begrüßt überaus die Verbesserung und Förderung (der Klöster) zum Besseren sowie deren Fortschritt (veranlaßt) durch gottliebende Männer, die dadurch für sich um das Heil ihrer Seele freien. Daher nimmt sie seine durchaus begründete Bitte an und expediert die vorliegende (Urkunde), mit der sie nun im Heiligen Geist befiehlt, daß er das erwähnte Monydrion übernehme und auf Lebenszeit dessen Aufsicht und Verwaltung innehabe sowie daß er in ihm wie ein Stifter kommemoriert werde, da er sich in der ihm innewohnenden gottgefälligen Art um seine (= des Monydrion) gute Führung und Erhaltung sowie um den Fortschritt zum Besseren (dergestalt) kümmern

κατὰ supplenda (cf. lin. 57 documenti praesentis)? || 50 ante τὸ vocem καὶ perperam suppl. MM || 53—54 an post ἀπολύει vox γράμμα supplenda? || 54 ἐπιλαβῆται MM || 55 καὶ] ὡς MM

κρεῖττον προχωρήσεως, ὥστε καὶ τὸν θεῖον ναὸν ἔχειν διηνεκῆ τὴν ἱερατικὴν ὑπηρεσίαν καὶ λυχνοκαΐαν καὶ λοιπὴν εὐκοσμίαν τὲ καὶ εὐπρέπειαν καὶ τὰς μοναχὰς ἀπολαύειν τῆς ἐντεῦθεν δυνατῆς κυβερνήσεως καὶ ζωαρκείας — ὅσον γὰρ ἂν ἐνδείξηται ὑπὲρ αὐτοῦ τὸ κηδεμονικόν, τοσοῦτον ἕξει καὶ παρὰ Θεοῦ ἀξίας τὰς μισθαποδοσίας —,
220^{r} || μετὰ δέγε τὴν αὐτοῦ ἀποβίωσιν ὑποστρέφηται πάλιν πρὸς τὴν τοῦ Θεοῦ ἁγίαν ἐκκλησίαν, ὡς κεφαλὴν καὶ προστάτην οὖσαν, ἵνα διάθηται καὶ οἰκονομῆται τὰ κατὰ τὸ τοιοῦτον μονύδριον, καθὼς ἂν διακρίνοι.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

Εἶχε καὶ ὑπογραφὴν τό· *μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ιδ$^{\text{ης}}$'* διὰ θείας καὶ πατριαρχικῆς χειρός †.

63 κηδεμονεῖν MM | μισθαποδόσεις MM || 67 ἀπολύεται MM || 69 τῆς θείας MM

259

Kallistos I. und die Synode beauftragen den Metropoliten Dionysios von Keltzene und den Sakelliu der Großen Kirche und Dikaiophylax Georgios Perdikes mit einer Gesandtschaft nach Rußland zur Untersuchung der von dem Metropoliten Roman von Litauen gegen den Metropoliten Aleksej von Kiev begangenen Rechtsbrüche.

V 47, f. 220^{r}—221^{r} (f. 168^{r}, Z. 3—14)	κατὰ μῆνα ἰούλιον τοῦ
MM I 425—430 (Nr. 183)	,ς$^{\text{οῦ}}$ω$^{\text{οῦ}}$ξθ$^{\text{ου}}$ ἔτους (Z. 180—181)
PG 152, 1374—1378	μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ$^{\text{ης}}$ (Z. 182—183)
Dar. Reg. 2434	Juli 6869 (= 1361)
Mazal 363	συνοδικὴ πρᾶξις (Z. 180)

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg ^{2}1908, Prilož., 69—85 (Nr. 13) (nach MM) (im folgenden nicht durchgehend herangezogen)

Erwähnte Urkunden und Gesetze:

a) Synodalpraxis ⟨des Patriarchen Philotheos Kokkinos; 30. Juni 1354; Dar. Reg. 2363 = oben, Nr. 193⟩: Versetzung des Bischofs Aleksej von Vladimir in die Metropolis von Kiev und ganz Rußland (πρᾶξις ἔγγραφος τῆς θείας

und sorgen wird, so daß die heilige Kirche dauernd über Priesterdienst, Beleuchtung und übrigen Schmuck und Zier verfügt und weiters die Nonnen die daraus ermöglichte Lebensführung und ausreichende Versorgung genießen. In dem Ausmaß, in dem er Fürsorge für das (Monydrion) an den Tag legt, wird er auch würdigen Lohn von Gott erhalten. Nach seinem Tod aber soll es (= das Monydrion) wieder an die heilige Kirche Gottes zurückkehren, die das Oberhaupt und der Vorstand ist, damit diese die Angelegenheiten des gegenständlichen Monydrion regelt und lenkt, wie sie es für richtig hält.

Zur diesbezüglichen Sicherung wurde nämlich für ihn auch die vorliegende Urkunde unserer Bescheidenheit expediert.

(Das Original) hatte auch die (Menologem)unterschrift von der göttlichen Hand des Patriarchen: „Im Monat Februar der 14. Indiktion".

259

Überschrift (1—2). *Sorge der Großen Kirche um die Einzelkirchen* (3 bis 9). *Versetzung des Alexios von Vladimir in die Metropolis von Kiev und ganz Rußland* (10—26). *Ernennung des Romanos zum Metropoliten von Litauen* (27—32). *Übergriffe des Romanos auf Gebiete des Alexios und Geltendmachung diesbezüglicher Ansprüche vor der Synode* (32—39). *Ladung des Alexios vor die Synode* (40—42). *Inhalt der damals ergangenen Synodalpraxis und einer begleitenden Entscheidung des Kaisers Ioannes V.* (43—55). *Synodale Bestätigung der kaiserlichen Entscheidung, Erlaß einer weiteren Synodalpraxis, mit der sich die beiden Parteien zur Wahrung der erreichten Einigung und zur Respektierung der Jurisdiktionsgrenzen ihrer Sprengel verpflichten* (56—70) *und dem Zuwiderhandelnden kanonische Bestrafung angedroht wird* (70—84). *Verstöße des Metropoliten Romanos gegen die in den Synodalpraxeis enthaltenen Vereinbarungen, Übergriffe auf das Gebiet der Metropolis von Kiev und ganz Rußland und Aufwiegelung des Großfürsten von Litauen; Bestätigung dieser Nachrichten sowohl durch Gesandte des Metropoliten Alexios als auch durch Anhänger des Metropoliten Romanos* (85—110). *Frühere Ermahnungen des Patriarchen an Romanos, die abgegebenen Verpflichtungen einzuhalten und*

καὶ ἱερᾶς συνόδου: Z. 20; vgl. μετετέθη καὶ ἀποκατέστη [Z. 17—18], τούτου ... ἀναχθέντος καὶ ἀποκαταστάντος [Z. 27] und ἐχειροτονήθη [Z. 48])

b) Synodalpraxis ⟨des Patriarchen Philotheos Kokkinos; Herbst 1354; Dar. Reg. 2368⟩: Einsetzung des Roman zum Metropoliten von Litauen (συνοδικὴ διάγνωσις: Z. 69; vgl. auch χειροτονεῖται καὶ οὗτος μητροπολίτης [Z. 31])

c) (schriftliche?) Ladung des Metropoliten Aleksej von Kiev und ganz Rußland vor die Synode in Konstantinopel durch den Patriarchen ⟨Kallistos I.; Sommer/Herbst 1355; Dar. Reg. 2382⟩ (vgl. μετακλήτου ... γενομένου [Z. 40])

d) ⟨Synodalpraxis des Patriarchen Kallistos I.; Sommer 1356; Dar. Reg. 2394 (teilweise)⟩: Bestätigung des Aleksej als Metropolit von Kiev und ganz Rußland ⟨und Bestätigung des Roman als Metropolit von Litauen⟩ (vgl. ἐτάχθη [Z. 47])

e) Entscheidung des Kaisers ⟨Ioannes V. Palaiologos; Sommer 1356; Dö. Reg. 3045⟩: Bestätigung von Novogrodek als Sitz des Metropoliten Roman von Litauen und der diesem Sitz unterstellten Bistümer Polocz und Turov; zusätzliche Unterstellung der Bistümer Klein-Rußlands unter Roman (vgl. διωρίσατο [Z. 51] und κατὰ τὴν ... ἐπίκρισιν καὶ εὐδοκίαν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος [Z. 57—59]) (vgl. auch Nr. 262, erwähnte Urkunde a)

f) Synodalpraxis des Patriarchen ⟨Kallistos I.; Sommer 1356; Dar. Reg. 2394 (teilweise)⟩: Bestätigung der kaiserlichen Entscheidung e) (συνοδικὴ διάγνωσις: Z. 69; vgl. auch διέγνω καὶ ἀπεφήνατο [Z. 56]; τὰ διεγνωσμένα συνοδικῶς [Z. 119]) (vgl. auch Nr. 262, erwähnte Urkunde b)

g) Synodalpraxis des Patriarchen ⟨Kallistos I.; Sommer 1356; Dar. Reg. 2395 (teilweise)⟩: Festlegung der Jurisdiktionsgrenzen der Metropolis von Kiev und ganz Rußland und der Metropolis von Litauen; Verbot der Einmischung in die Jurisdiktion des jeweils anderen Sprengels (ἑτέρα συνοδικὴ πρᾶξις: Z. 60—61; πρᾶξις: Z. 70; συνοδικὴ διάγνωσις πρᾶξις τὲ καὶ κατάστασις: Z. 75; vgl. auch τοῖς διαγνωσθεῖσι συνοδικῶς [Z. 87—88] und τὰ διεγνωσμένα συνοδικῶς [Z. 119]) (vgl. unten, Nr. 262, erwähnte Urkunde e)

h) Urkunden des Patriarchen ⟨Kallistos I.⟩ für den Metropoliten Roman von Litauen, die die Synodalbeschlüsse f) und g) bestätigen (γράμματα: Z. 89 [oder identisch mit den Synodalpraxeis f) und g) (Zweitausfertigungen)]?)

i) (schriftliche?) Berichte aus Rußland an den Patriarchen ⟨Kallistos I.⟩ über unkanonische Handlungen des Metropoliten Roman von Litauen (vgl. ἀνηνέχθη [Z. 92]) (vgl. auch Nr. 262, erwähnte Urkunde d)

j) verschiedene Schreiben des Metropoliten Roman von Litauen, möglicherweise zum Teil an den Großfürsten Olgierd von Litauen bzw. mit unberechtigter Führung des Titels eines Metropoliten von Kiev und ganz Rußland (γράμματα: Z. 102)

k) frühere Ermahnung(en) des Patriarchen ⟨Kallistos I.; ca. 1358—1360; Dar. Reg. 2406⟩ an den Metropoliten Roman von Litauen, sich an den Inhalt von f) und g) zu halten (vgl. πρότερον μὲν ἐγγράφως παρεκελεύσατο [Z. 116]) (vgl. auch Nr. 262, erwähnte Urkunde g)

keine weiteren gegen Alexios gerichtete Übergriffe zu begehen (111 bis 120). *Nach jüngsten Übergriffen auf das dem Alexios unterstehende Bistum Brianiskon Beschluß des Patriarchen und der Synode zur Einsetzung von Gesandten, die in Rußland die tatsächlichen Vorkommnisse ausforschen sollen* (121—149). *Auftrag an die Gesandten, in Rußland die Bischöfe und Fürsten zu einer Versammlung zu laden, bei der in Beisein des Romanos oder von dessen Vertretern die Anschuldigungen gegen ihn erörtert werden sollen; darüber ist ein Protokoll abzufassen und nach Konstantinopel zu bringen* (150—169). *Auftrag an die Gesandten, die Untersuchung ungeachtet der eventuellen Weigerung des Romanos, persönlich zu erscheinen oder Vertreter zu entsenden, durchzuführen* (170—178). *Ausstellungs- und Registrierungsvermerk* (179—181). *Datierung* (182—183).

l) (gesonderte?) schriftliche Versicherung des Metropoliten Roman von Litauen, den Inhalt von f) und g) zu wahren (vgl. ἐγγραψαμένῳ στέργειν ἀπαραβάτως τὰ διεγνωσμένα συνοδικῶς καὶ μὴ περαιτέρω τούτων προβαίνειν καὶ κατὰ τοῦ κῦρ 'Αλεξίου κατεξανίστασθαι [Z. 118—120]) (vgl. auch Nr. 262, erwähnte Urkunde f)

m) Bestätigung der Ernennung der patriarchalen Gesandten nach Rußland, des Metropoliten ⟨Dionysios⟩ von Keltzene und des Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, durch Kaiser ⟨Ioannes V. Palaiologos; Juli 1361; fehlt bei Dö. Reg.⟩ (vgl. ἐπευδοκήσαντος εἰς τοῦτο τοῦ ... αὐτοκράτορος [Z. 137—138]) (vgl. auch Nr. 262, erwähnte Urkunde i)

n) zu erstellendes Protokoll über die von den Gesandten, dem Metropoliten ⟨Dionysios⟩ von Keltzene und dem Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, in Rußland durchzuführende Untersuchung, beglaubigt durch die Unterschriften der an der Untersuchung Beteiligten (ἔγγραφος κατησφαλισμένη μαρτυρία καὶ παρασημείωσις πάντων τῶν λαληθησομένων καὶ ἐξετασθησομένων χάριν τῶν τοιούτων αἰτιαμάτων, πιστωθησομένη καὶ ὑπογραφαῖς οἰκειοχείροις τῶν τε θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν καὶ ἑτέρων ἀξιοπίστων: Z. 159—163) (vgl. auch Nr. 262, erwähnte Urkunde k)

o) von den patriarchalen Gesandten, dem Metropoliten ⟨Dionysios⟩ von Keltzene und dem Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, in Rußland auszustellende Ladungen an den Metropoliten Roman von Litauen mit der Aufforderung, zur Untersuchung der gegen ihn vorgebrachten Anschuldigungen persönlich zu erscheinen oder Vertreter zu entsenden (μηνύματα [γενόμενα κανονικῶς]: Z. 172) (vgl. auch Nr. 262, erwähnte Urkunde j)

p) Register ⟨des Patriarchats von Konstantinopel⟩ (τὸ ἱερὸν κωδίκιον: Z. 180).

† Πρᾶξις τοῦ 'Ρωσίας καὶ τοῦ μητροπολίτου Λιτβῶν

† Ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἄνωθεν καὶ ἐξαρχῆς τῇ δοθείσῃ αὐτῇ Χριστοῦ χάριτι ἀηττήτῳ ἰσχύι τὲ καὶ δυνάμει συνήθως ἔχουσα ἐπὶ τὸ λυσιτελέστερον πάντα διοικονομεῖσθαι, τοῦτο δὴ καὶ ποιεῖ· οὐχῆττον δ' ἐνδείκνυται τὴν φροντίδα ταύτης καὶ ἐπιμέλειαν ὑπὲρ τῶν ἑκασταχοῦ εὑρισκομένων πασῶν ἁγιωτάτων ἐκκλησιῶν, ὅπως ἂν αὗται κατὰ τὸν τοῦ Κυρίου νόμον καλῶς διοικοῖντο καὶ διεξάγοιντο.

3—9 cf. linn. 4—9 documenti 193 huius editionis

Synodalpraxis (betreffend) den (Metropoliten) von Rußland und den Metropoliten von Litauen

Die heilige katholische und apostolische Kirche Christi hat von allem Anfang die Gewohnheit, durch die ihr durch Christi Gnade verliehene unbesiegbare Kraft und Macht alles zum Vorteilhafteren zu lenken; und sie tut dies auch. Insbesondere legt sie ihre Sorge und Umsicht für alle an jedem Ort befindlichen heiligsten Kirchen an den Tag, damit diese nach dem Gesetz des Herrn gut verwaltet und geleitet werden.

1—2 titulus ab alia (eiusdem aetatis) manu in margine superiore f. 220^{r} suppletus || 1 τοῦ^{1}] τῆς MM || 3—14 ἡ—ἐκείνου] eundem textum praebet cancellatum etiam f. 168^{r} || 3 Χριστοῦ] Θεοῦ MM || 4 καὶ^{1} om. MM

Φθάνει τοιγαροῦν πρό τινος ἤδη καιροῦ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ὁ κῦρ Ἀλέξιος, ἐπίσκοπος ὢν τῳτότε Βολοδιμοίρου, τὸν βίον ἀπολιπόντος τοῦ ἱερωτάτου μητροπολίτου Ῥωσίας, κῦρ Θεογνώστου ἐκείνου, παραγενόμενος ἐνταῦθα εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον, ὅστις καὶ μαρτυρηθεὶς παρά τε τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου καὶ παρὰ τῶν εὐγενεστάτων ῥηγῶν τῆς Ῥωσίας ἀντιποιεῖσθαι ἀρετῆς καὶ εὐλαβείας καὶ κριθεὶς ἄξιος μετετέθη καὶ ἀποκατέστη κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν τάξιν τὲ καὶ συνήθειαν γνήσιος ἀρχιερεὺς Κυέβου καὶ πάσης Ῥωσίας, προβάσης ἐπὶ τούτῳ καὶ πράξεως ἐγγράφου τῆς θείας καὶ ἱερᾶς συνόδου, ἐφῷ εἶναι καὶ εὑρίσκεσθαι τοῦτον γνήσιον ἀρχιερέα Κυέβου καὶ πάσης Ῥωσίας καὶ δι' ἐπιμελείας πολλῆς ποιεῖσθαι κατὰ | τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκρίβειαν ποιμαίνειν καλῶς καὶ κατὰ τὸν προσήκοντα λόγον τὴν κατ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν, ἅτε δὴ πολυάνθρωπον οὖσαν καὶ πολλοὺς τοὺς πλησιοχώρους ἔχουσαν τοὺς μὴ πειθομένους τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Τούτου οὖν τὸν τρόπον τοῦτον ἀναχθέντος καὶ ἀποκαταστάντος εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας καὶ ἐκπεμφθέντος καλῶς, καταλαμβάνει μεταμικρὸν καὶ ὁ ἱερώτατος μητροπολίτης Λιτβῶν, κῦρ Ῥωμανός, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ χειροτονεῖται καὶ οὗτος μητροπολίτης Λιτβῶν, ὅστις καὶ εἰς τὴν δοθεῖσαν αὐτῷ ἐπαρχίαν ἐπαναστραφεὶς πλειόνων ἔτι ἀντιποιούμενος καὶ διατοῦτο διόχλου γινόμενος τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, τῷ κῦρ Ἀλεξίῳ, καὶ τοῖς ἀνήκουσι δικαίοις αὐτῷ καὶ σκανδάλων μεταξὺ αὐτῶν μεσολαβησάντων καταλαμβάνει ἐνταῦθα πρός τε τὸν ἐκ Θεοῦ κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον ζητῶν, ἅπερ ἐβούλετο καὶ ἐπειρᾶτο κατέχειν, δι' ἃ συνέβη καὶ τὸ μεταξὺ αὐτῶν σκάνδαλον.

Μετακλήτου τοίνυν γενομένου καὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, τοῦ κῦρ Ἀλεξίου, καὶ ἐνταῦθα ἐπιδεδημηκότος εἰς τὴν θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν καὶ

17—18 μετετέθη καὶ ἀποκατέστη] cf. linn. 75—77 documenti 193 || 18 κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν] cf. linn. 84—85 documenti 193 || 24—25 cf. linn. 20—21 documenti 193 || 27—28 cf. linn. 83—85 documenti 193

Schon vor einiger Zeit traf nun der heiligste Metropolit von Kiev und ganz Rußland, im Heiligen Geist geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, Herr Alexios, der damals Bischof von Vladimir war, nach dem Tod des heiligsten Metropoliten von Rußland, des verstorbenen Herrn Theognostos, hier bei unserer göttlichen und heiligen Synode ein. Da seine Tugend und Frömmigkeit von seiten des erwähnten heiligsten Metropoliten und der edelsten Fürsten Rußlands verbürgt und er für würdig befunden worden war, wurde er versetzt und nach der von Anfang an herrschenden Ordnung und Gewohnheit als legitimer Erzpriester von Kiev und ganz Rußland eingesetzt. Diesbezüglich erging auch eine schriftliche Urkunde der göttlichen und heiligen Synode, daß er der legitime Erzpriester von Kiev und ganz Rußland sein und sich besonders darum sorgen soll, seine heiligste Kirche unter strenger Beachtung der göttlichen und heiligen Kanones und in der gebührlichen Art und Weise gut zu lenken, da (seine Kirche) reich an Menschen ist und an viele Nachbarn grenzt, die nicht der katholischen und apostolischen Kirche gehorchen.

Kurz nachdem dieser auf diese Weise zum vollgültigen Metropoliten von Kiev und ganz Rußland erhoben und eingesetzt und verabschiedet worden war, kam auch der heiligste Metropolit von Litauen, Herr Romanos, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, (hierher) und wurde zum Metropoliten von Litauen geweiht. Jener beanspruchte nach seiner Rückkehr in die ihm gegebene Provinz noch mehr und bedrängte deswegen den heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, und die diesem gehörenden Rechte. Nachdem es zwischen ihnen zu Streit gekommen war, kam er hierher zu meinem aus Gott mächtigsten und heiligen Kaiser und zu unserer Bescheidenheit und zu der um sie versammelten göttlichen und heiligen Synode und begehrte das, was er zu besitzen wünschte und versuchte und weswegen es auch zu dem Streit zwischen ihnen gekommen war.

Als nun auch der heiligste Metropolit von Kiev und ganz Rußland, Herr Alexios, geladen worden und hierher in das gottgerühmte und gotterhöhte Konstantinopel gekommen war und alle sich

11 post Ῥωσίας vocem ὑπέρτιμος praebet f. 168r || 19—21 προβάσης usque ad Ῥωσίας om. MM || 35 σκανδάλων] litt. κ ex α corr. V || 37 αὐτοκράτορα] litt. $ρ^2$ ex corr. V || 40 γινομένου MM

πάντων τῶν εὑρισκομένων τηνικαῦτα ἱερωτάτων ἀρχιερέων ἐπιτοαυτὸ συνελθόντων καὶ ἱερᾶς συγκροτηθείσης συνόδου προκαθημένου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ πολλῆς ἐξετάσεως γενομένης χάριν τῶν παρ' ἀμφοτέρων τούτων τῶν ἀρχιερέων κινηθέντων λόγων, προηγουμένως μὲν ἐτάχθη εἶναι καὶ εὑρίσκεσθαι ὁ ἱερώτατος μητροπολίτης κῦρ 'Αλέξιος, ὥσπερ ἐχειροτονήθη τηναρχήν, Κυέβου καὶ πάσης Ῥωσίας κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν συνήθειαν. περὶ μέντοι τοῦ ἱερωτάτου μητροπολίτου κῦρ Ῥωμανοῦ ὡς χειροτονηθέντα καὶ αὐτὸν Λιτβῶν διωρίσατο ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ συγκαταβάσεως λόγῳ καὶ ἅμα διὰ τὴν ἀνενοχλησίαν καὶ εἰρήνην τοῦ ἐκεῖσε τόπου ἔχειν σὺν ταῖς οὔσαις τῇ τῶν Λιτβῶν ἐπαρχίᾳ δυσὶν ἐπισκοπαῖς τὸ Πωλότζικον καὶ τὸ Τούροβον μετὰ καὶ τοῦ Νοβογραδοπουλίου, τοῦ καθίσματος τοῦ μητροπολίτου, καὶ τὰς τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπάς.

Ὅπερ διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ἀλλὰ δὴ καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, ἔχειν τὸ στέργον καὶ βέβαιον κατὰ τὴν ἐπὶ τούτῳ | ἐπίκρισιν καὶ εὐδοκίαν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, προμήθειαν ποιησαμένη καὶ αὔτη τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, προβάσης καὶ ἑτέρας συνοδικῆς πράξεως, ὡς ἂν ὁ μὲν ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ὁ κῦρ 'Αλέξιος, ἐπιλάβηται καὶ κατάσχῃ πᾶσαν τὴν ὑπ' αὐτὸν ἐνορίαν μετὰ καὶ τῶν ἐν αὐτῇ ἐπισκοπῶν ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως καὶ οὐδὲν εὑρίσκῃ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, ἐπὶ τῇ κατοχῇ καὶ διεξαγωγῇ καὶ διοικήσει τῆς εἰρημένης ἐνορίας τῆς μητροπόλεως Κυέβου μετὰ πασῶν τῶν ἐπισκοπῶν αὐτοῦ τὴν τυχοῦσαν καταδυναστείαν ἢ ἐπήρειαν, ἀρκουμένου τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, εἰς ὅπερ αὐτῷ ἐδόθη συνοδικῇ διαγνώσει ἐνώπιον τῆς ἡμῶν μετριότητος ὕστερον, ὡς δεδήλωται, ἐμπεδωθείσης τῆς τοιαύτης πράξεως τῇ ἐκ τῶν θείων καὶ ἱερῶν
220v || κανόνων ἐπηρτημένῃ καταδίκῃ τοῖς ἀνατρέπουσι τούτους, ὡς ἄν, ὅστις ἐξ ἀμφοτέρων μὴ ἐφησυχάζῃ ἀρκούμενος τῷ οἰκείῳ δικαίῳ καὶ εἰρήνην

43 ἐπιτοαυτὸ] ex ἐπὶ τὸ αὐτὸ corr. V, sub litt. ιτοα lin. ducta in V || 45 καὶ[2] om. MM || 48 τηναρχήν] sub litt. τηναρ lin. ducta in V || 50 ante ὡς vocem ἐπεὶ canc. V | ὡς χειροτονηθέντα ex ἐχειροτονήθη, αὐτὸν ex αὐτὸς corr. V (lege ὡς χειροτονηθέντος καὶ αὐτοῦ, sed cave verbum ἔχειν in lin. 53) || 58 εὐδοκίαν] εὐνομίαν MM || 59 αὐτὴ MM || 61 ὁ[2] om. MM || 63 παντάπασιν MM || 65 διοικήσει] litt. ει ex εως corr. V || 66 αὐτοῦ] litt. οῦ ex corr. V (αὐτῆς [μητροπόλεως]?)

damals (hier) aufhaltenden heiligsten Erzpriester zusammengekommen waren und eine heilige Synode unter dem Vorsitz meines mächtigsten und heiligen Kaisers zusammengetreten war und es zu einer eingehenden Untersuchung der von diesen beiden Erzpriestern vorgebrachten Behauptungen gekommen war, wurde in erster Linie festgesetzt, daß der heiligste Metropolit, Herr Alexios, wie er ursprünglich geweiht worden war, gemäß der von Anfang an herrschenden Gewohnheit (Metropolit) von Kiev und ganz Rußland sein solle. Bezüglich des heiligsten Metropoliten, Herrn Romanos, da auch er zum (Metropoliten) von Litauen geweiht worden war, ordnete mein mächtigster und heiliger Kaiser nachsichtig und zugleich um der Ruhe und des Friedens des dortigen Landes willen an, daß er zusätzlich zu den beiden der Provinz von Litauen gehörenden Bistümern Polotzikon und Turobon zusammen mit Nobogradopulion, dem Sitz des Metropoliten, auch die Bistümer von Klein-Rußland innehaben solle.

Unsere Bescheidenheit, aber auch die um sie versammelte göttliche und heilige Synode entschied, daß dies gemäß der diesbezüglichen Entscheidung und Billigung meines mächtigsten und heiligen Kaisers gültig und sicher sein soll, und sie selbst sorgte für den besagten heiligsten Metropoliten von Litauen, Herrn Romanos, indem eine weitere Synodalpraxis (des Inhalts) erging, daß einerseits der heiligste Metropolit von Kiev und ganz Rußland, Herr Alexios, den gesamten ihm unterstehenden Sprengel gemeinsam mit den sich darin befindenden Bistümern vollkommen unbelästigt und ungestört übernehmen und in Besitz nehmen sowie im Besitz, der Führung und der Verwaltung des erwähnten Sprengels der Metropolis Kiev mit all seinen Bistümern keinerlei Übergriffe oder Schikanen seitens des heiligsten Metropoliten von Litauen, Herrn Romanos, erfahren solle und daß sich der besagte Metropolit von Litauen, Herr Romanos, mit dem begnügen solle, was ihm später mit einer Synodalentscheidung vor unserer Bescheidenheit, wie erklärt worden ist, gegeben wurde. Diese besagte Synodalpraxis wurde durch die Verurteilung gefestigt, die aufgrund der göttlichen und heiligen Kanones denjenigen droht, die gegen diese (Kanones) verstoßen, (das heißt) daß derjenige von den beiden, der sich nicht ruhig mit dem ihm rechtlich zustehenden Bereich begnügt und

ἔχῃ εἰς ἑαυτόν — ὡς ὁ τοῦ Κυρίου βούλεται νόμος καὶ τὸ ἐπάγγελμα καὶ καθὼς ἐστι μάλιστα ὀφειλόμενον τοῖς πνευματικὴν προστασίαν λαχοῦσι μετὰ τὴν τοιαύτην συνοδικὴν διάγνωσιν πρᾶξιν τὲ καὶ κατάστασιν —, ἀλλὰ χωρήσῃ εἰς ἀθέτησιν ὁπωσοῦν ταύτης καὶ τολμήσῃ παρὰ τὴν ἐνορίαν αὐτοῦ διαπράξασθαί τι ἀρχιερατικὸν ἢ ἱερατικὸν ἢ ἐκκλησιαστικὸν ὅλως ἐπὶ ἀνατροπῇ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς ἐντεῦθεν παρεισαχθῆναι πάλιν σκάνδαλα καὶ ὀχλήσεις, ὁ τοιοῦτος ἀξίαν ὑποστήσεται τὴν κανονικὴν τιμωρίαν καὶ ἐπεξέλευσιν παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου ὡς ἀθετητὴς καὶ ἐναντία φρονῶν τῇ ἁγίᾳ τοῦ Χριστοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ καὶ βουλόμενος ἐντεῦθεν σύγχυσιν καὶ ταραχὴν καὶ φθορὰν προξενεῖν τῷ τῶν Ῥώσων χριστιανικῷ γένει.

Ἀλλὰ τούτων οὕτω γενομένων καὶ ἀποκαταστάντων, ὃν εἴρηται τρόπον, ὁ μὲν ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ὁ κῦρ Ἀλέξιος, εὑρίσκεται κατὰ πάντα πειθόμενος τοῖς διαγνωσθεῖσι συνοδικῶς, ὁ δὲ ἱερώτατος μητροπολίτης, κῦρ Ῥωμανός, οὐ μόνον ἐξερχόμενος τῶν ἐνταῦθα ⟨οὐκ⟩ ἠθέλησε λαβεῖν γράμματα τῆς ἡμῶν μετριότητος εἰς πίστωσιν καὶ ἀσφάλειαν τῶν οὕτως ἀποφανθέντων οὔτε τὴν ὀφειλομένην ὑποταγὴν ἐνδείξασθαι εἰς τὴν ἡμῶν μετριότητα, ἀλλ᾽ ἀπιὼν ᾤχετο εἰς τὴν λαχοῦσαν αὐτὸν κἀκεῖσε παραγενόμενος, ὡς ἀνηνέχθη τῇ ἡμῶν με|τριότητι, πολλὰ τῶν ἀκανονίστων εἰργάσατο. ἀπελθὼν γὰρ εἰς τὸ Κύεβον ἀμετόχως ἱερούργησεν ἐν αὐτῷ καὶ χειροτονίας διεπράξατο καὶ ἑαυτὸν Κυέβου καὶ πάσης Ῥωσίας καθολικὸν μητροπολίτην ἀδεῶς ὀνομάζει, ὅπερ προεξένησε σύγχυσιν καὶ ταραχὴν τῇ ἐπαρχίᾳ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, καὶ παρεκίνησε καὶ τὸν αὐθέντην Λιτβῶν κατὰ τῶν Χριστιανῶν κατεξαναστῆναι καὶ οὐκ ὀλίγην φθορὰν καὶ χύσεις αἱμάτων ἐργάσασθαι, ἅπερ ἔδειξαν ἀκριβέστερον οἱ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ἀποκρισιάριοι καταλαβόντες ἐνταῦθα καὶ ἐξ ἄλλων μὲν πολλῶν, μάλιστα δὲ καὶ ἀφ᾽ ὧν διεκόμισαν γραμμάτων τοῦ ἱερωτάτου μητροπολίτου, κῦρ Ῥωμανοῦ· ὑπὲρ ὧν καὶ ὥσπερ ἐγκαυχώμενοι οἱ τοῦ

73 ὁ τοῦ Κυρίου—νόμος] cf. Joh. 14, 27

89 οὐκ supplevimus || 91 ἐνδείξασθαι] litt. εἰ ex corr. V || 102 μάλιστα] litt. μ ex corr. V

darin Frieden hält — wie es das Gesetz und der Auftrag des Herrn wollen und wie es besonders diejenigen schulden, denen nach der besagten durch die Synode (erfolgten) urkundlichen Entscheidung und Regelung die geistige Führung zuteil geworden ist —, sondern zu deren (= der Entscheidung) wie immer auch gestalteten Annullierung schreitet und es wagt, außerhalb seines Sprengels irgendeine erzpriesterliche oder priesterliche oder überhaupt eine kirchliche Handlung in Aufhebung der kirchlichen Ordnung zu setzen, so daß dadurch wieder Streitigkeiten und Belästigungen hineingetragen werden, (daß) dieser die angemessene kanonische Bestrafung und Maßregelung seitens unserer Bescheidenheit und der um sie versammelten göttlichen und heiligen Synode erfahren soll als einer, der gegen die heilige katholische und apostolische Kirche Christi verstößt und ihr feindlich gesinnt ist und daher dem christlichen Volk der Russen Verwirrung, Aufruhr und Verderbnis bereiten will.

Nachdem aber diese Angelegenheit so verlaufen und in der genannten Weise geregelt worden war, gehorcht der heiligste Metropolit von Kiev und ganz Rußland, Herr Alexios, in allem dem Synodalbeschluß, der heiligste Metropolit aber, Herr Romanos, wollte nicht nur, als er von hier fortging, weder die Urkunden unserer Bescheidenheit zur Bestätigung und Sicherung des derart Beschlossenen entgegennehmen noch unserer Bescheidenheit die geschuldete Unterordung erweisen, sondern er brach eiligst in seine Kirche auf und beging dort nach seiner Ankunft, wie unserer Bescheidenheit berichtet wurde, viele unkanonische Handlungen. Er begab sich nämlich nach Kiev, wo er unbefugt als Priester wirkte und Weihen vollzog, und er bezeichnet sich ohne Furcht als allgemeiner Metropolit von Kiev und ganz Rußland, was die Provinz des heiligsten Metropoliten von Kiev und ganz Rußland in Verwirrung und Aufruhr versetzte. Weiters veranlaßte er den Gebieter von Litauen, sich gegen die Christen zu erheben sowie keinen geringen Schaden und Blutvergießen anzurichten, was die Gesandten des heiligsten Metropoliten von Kiev und ganz Rußland, des Herrn Alexios, ganz genau darlegten, als sie hierher kamen, und zwar aufgrund von vielen anderen (Beweisen), am meisten aber aufgrund der von ihnen gebrachten Briefe des heiligsten Metropoliten (von Litauen), Herrn Romanos. Darüber hinaus und so, als ob sie sich (dessen) brüsteten,

ἱερωτάτου μητροπολίτου Λιτβῶν ἄνθρωποι, πρότερον καταλαβόντες ἐνταῦθα, διεκήρυττον, ὡς τοσοῦτον ὁ ἱερώτατος μητροπολίτης κῦρ Ῥωμανὸς ἔστιν ἰσχυρὸς καὶ δύναται τὴν ἐπαρχίαν ἅπασαν τῆς μητροπόλεως ἔχειν Ῥωσίας, ὅτι καὶ εἰς τὸ Κύεβον ἀπῆλθε καὶ ἐλειτούργησε καὶ ἐπισκοπὰς πολλὰς προσελάβετο, καὶ τὸν αὐθέντην Λιτβῶν κατὰ τοῦ κῦρ Ἀλεξίου διήγειρε καὶ πάντ' ἔξεστιν ἐκείνῳ ποιεῖν ἀδεῶς δύναμιν οὐ μικρὰν ἔχοντι εἰς τοῦτο παρακινοῦσαν τὸν αὐθέντην Λιτβῶν.

Διὰ γοῦν τὴν τοιαύτην ⟨κατάστασιν⟩ ἐπισφαλῆ παντάπασιν οὖσαν καὶ ἔξω τῆς τῶν θείων καὶ ἱερῶν κανόνων διαταγῆς καὶ ἅμα διὰ τὸ μὴ προβαίνειν κατὰ τοῦ χριστιανικοῦ τῆς Ῥωσίας γένους φόνους καὶ συγχύσεις καὶ μάχας καὶ ταραχάς, ὡς λέγεται — ἅπέρ ἐστι τοῖς ἔθνεσιν ἴδια τοῖς μὴ φόβον ἐν ἑαυτοῖς ἔχουσι τοῦ Θεοῦ καὶ οὐ τοῖς ἀρχιερεῦσι —, καὶ πρότερον μὲν ἐγγράφως παρεκελεύσατο πρὸς αὐτὸν δὴ τὸν κῦρ Ῥωμανὸν ἡ μετριότης ἡμῶν εἰσηγουμένη τούτῳ, ὡς ἂν ἀποστῇ τῶν τοιούτων ἀκανονίστων πράξεων, ὡς ἐγγραψαμένῳ στέργειν ἀπαραβάτως τὰ διεγνωσμένα συνοδικῶς καὶ μὴ περαιτέρω τούτων προβαίνειν καὶ κατὰ τοῦ κῦρ Ἀλεξίου κατεξανίστασθαι.

⟨± 80⟩ καὶ τὴν μείζονα ἐπισκοπὴν τῆς Ῥωσίας, τοῦ Μπριανίσκου, ἰδιοποιήσατο, ἀνήκουσαν τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, τῷ κῦρ Ἀλεξίῳ, ἀφ' οὗ δηλονότι ὑφορῶνται καὶ ἔτι μείζονα τὰ κακὰ προχωρήσειν καὶ καθολική τις φθορὰ καὶ καινοτομία τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐν τῇ ὅλῃ ἐπαρχίᾳ τῆς Ῥωσίας, ἡ μετριότης ἡμῶν, ὃν εἴρηται τρόπον, κηδομένη καὶ φροντίζουσα Χριστοῦ χάριτι τῆς εἰρήνης καὶ ὁμονοίας τοῦ τῆς ἐκκλησίας ὅλου πληρώματος, ὀφείλοντος ἓν σῶμα εἶναι καὶ | συνδεῖσθαι τῷ τῆς ἀγάπης ἀρρήκτῳ δεσμῷ καὶ ἔχειν
221r ἐντεῦθεν τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν || κεφαλήν, ἅμα δὲ ἀναχαιτίσαι πειρωμένη καὶ τὰ μεσολαβήσαντα σκάνδαλα μεταξὺ τῶν δύο ἀρχιερέων, συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, κατὰ Κύριον ἀγαπητοῖς ἀδελφοῖς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῖς, τῷ Κυζίκου, τῷ Χαλκηδόνος, τῷ Ποντοηρακλείας,

127—128 ἓν σῶμα] Rom. 12, 5 || 128 ἀγάπης—δεσμῷ] cf. e. g. Col. 2, 14 || 129 ἀκρογωνιαῖον λίθον] Eph. 2, 20

109 πάντα MM || 111 κατάστασιν supplevimus cum MM || 115 ἐνεαυτοῖς V || 116 πρότερον] πρῶτον MM (v. Dar. Reg. 2434 [„Texte“]) || 118 ἐγράψαμεν MM

verkündeten die Männer des heiligsten Metropoliten von Litauen, als sie vorher hierher gekommen waren, daß der heiligste Metropolit, Herr Romanos, so stark sei, daß er die gesamte Provinz der Metropolis Rußland innezuhaben imstande sei, daß er auch nach Kiev ging und (dort) die Liturgie feierte und viele Bistümer an sich brachte und daß er weiters den Herrscher von Litauen gegen den Herrn Alexios aufbrachte und daß er alles ohne Furcht unternehmen könne, weil er über keine geringe Macht verfüge, die auch den Herrscher von Litauen dazu bewege.

Da nun ⟨diese Lage⟩ in jeder Hinsicht instabil und außerhalb der Bestimmung der göttlichen und heiligen Kanones war, zugleich damit es, wie gesagt, zu keinen Morden, Wirren, Kämpfen und Ausschreitungen gegen das christliche Volk Rußlands komme — was den Heiden eigen ist, die keine Gottesfurcht in sich haben, aber nicht Erzpriestern —, befahl unserer Bescheidenheit schon früher diesem Herrn Romanos schriftlich und ermahnte ihn, von diesen unkanonischen Handlungen abzulassen, weil er sich schriftlich dazu verpflichtet habe, die Entscheidungen der Synode unverbrüchlich anzuerkennen und nicht über diese hinaus zu gehen und sich nicht gegen den Herrn Alexios zu erheben.

⟨Da⟩ er sich ⟨nun jüngst⟩ ... auch das überaus große Bistum in Rußland, Brianiskon, angeeignet hat, das dem heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, zugehörig ist, und aufgrund dessen zu befürchten ist, daß noch größeres Unheil und völlige Zerstörung und Verderbnis der kirchlichen Angelegenheiten in der gesamten Provinz Rußland entstehen werden, beriet sich unsere Bescheidenheit, die sich auf die genannte Art und Weise durch Christi Gnade um den Frieden und die Eintracht des gesamten Kirchenvolkes kümmert und sorgt, welches ein Körper sein und durch das unzerreißbare Band der Liebe verbunden sein soll und daher den Eckstein Christus zum Haupt haben muß, und die zugleich versuchte, den zwischen den beiden Erzpriestern entstandenen Streit beizulegen, diesbezüglich mit den um sie versammelten heiligsten Erzpriestern und Hypertimoi, den im Herrn geliebten priesterlichern Mitbrüdern unserer Bescheidenheit, (den Metropoliten) von Kyzikos, Chalkedon, Pontoherakleia, Bizye, dem Inhaber

|| 120—121 post κατεξανίστασθαι spatium ca. 80 litt. habet V; lacunam non indicaverunt MM (v. Dar. Reg. 2434 [„Texte“]) || 127 τῆς] litt. ς ex corr. V

τῷ Βιζύης, τῷ καὶ τὸν τόπον τοῦ Σταυρουπόλεως ἐπέχοντι, τῷ Βρύσεως, τῷ Κελτζηνῆς, τῷ Χριστιανουπόλεως, τῷ Σουγδαΐας, τῷ Ῥωσίου, τῷ Μάκρης, τῷ Γάνου καὶ τῷ τιμιωτάτῳ ὑποψηφίῳ τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, ἐπευδοκήσαντος εἰς τοῦτο τοῦ ἐκ Θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὡς ἀποδεχομένου τῇ ἐμφύτῳ αὐτοῦ περὶ τὰ καλὰ χρηστότητι τὸ τῆς εἰρήνης καὶ ὁμονοίας καλὸν καὶ διεκδικεῖν σπεύδοντος πάντα τὰ ἐκκλησιαστικὰ δίκαια καὶ προνόμια, καὶ ἐκλεξαμένη ⟨τόν τε ἱερώτατον μητροπολίτην Κελτζηνῆς, ὑπέρτιμον, ἀγαπητὸν κατὰ Κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, καὶ⟩ τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας καὶ δικαιοφύλακα, ἐν ἁγίῳ πνεύματι γνησιώτατον υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιον διάκονον τὸν Περδίκην, καὶ ὡς εὐλαβεῖς καὶ χρησίμους καὶ ἀναγκαίους ἀνθρώπους καὶ εἴδησιν οὐκ ὀλίγην κεκτημένους τῶν θείων καὶ ἱερῶν κανόνων, ἔχοντας δὲ καὶ ἄλλως πολὺ τὸ ἀξιόπιστον ἀπὸ τοῦ τρόπου καὶ τῆς συνέσεως αὐτῶν, ἐξαπέστειλεν ἀποκρισιαρίους, ὥστε ποιήσασθαι τὴν τοιαύτην ἐξέτασιν.

Οἵτινες καὶ ὀφείλουσιν ἀπελθεῖν εἰς τὴν Ῥωσίαν καὶ προσκαλέσασθαι τοὺς ἐκεῖσε θεοφιλεστάτους ἐπισκόπους, ὅσους οὐ κωλύσει τὸ πολὺ τῆς ὁδοῦ μῆκος εἰς ταὐτὸ συνελθεῖν, ἀλλὰ δὴ καὶ τοὺς εὐγενεστάτους μεγάλους ῥῆγας, ὀφείλοντος ὁμοίως ἐπιδημῆσαι δι' ἑαυτοῦ εἰς τὴν τοιαύτην σύναξιν καὶ τοῦ ἱερωτάτου μητροπολίτου κῦρ Ῥωμανοῦ ἢ ἐξαποστεῖλαι οἰκείους ἀνθρώπους ἀντ' αὐτοῦ, ἵνα ἐξετάσεως γενομένης παρὰ τῶν τοιούτων ἀποκρισιαρίων ἀπροσπαθῶς, ὡς τοῦ Θεοῦ ἄνωθεν ἐφορῶντος, παρόντος καὶ τοῦ μέρους τοῦ κῦρ Ῥωμανοῦ, ἐνώπιον τῶν μελλόντων συνελθεῖν θεοφιλεστάτων ἐπισκόπων καὶ εὐγενεστάτων ῥηγῶν ἕνεκεν τῆς τοιαύτης ὑποθέσεως, γένηται ἔγγραφος κατησφαλισμένη μαρτυρία καὶ παρασημείωσις πάντων τῶν λαληθησομένων καὶ ἐξετασθησομένων χάριν τῶν τοιούτων αἰτιαμάτων, πιστωθησομένη καὶ

134 τὸν] ὁ ex ῶ corr. V | Σταυροπόλεως MM || 140 σπεύδοντα V; σπεύδοντος scripsimus cum MM || 140—141 ἐκλεξαμένου V, MM; ἐκλεξαμένη correximus; cf. lin. 41—42 documenti 262 huius editionis et Dar. Reg. 2434 [„Texte"] || 140 usque ad 143 ἐκλεξαμένη τόν τε ἱερώτατον μητροπολίτην Κελτζηνῆς—τὸν τιμιώτατον σακελλίου] ἐκλεξαμένου τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας (spatium ca. 4 litt.) καὶ συλλειτουργόν, καὶ τὸν τιμιώτατον σακελλίου V (sententiam cum vocibus τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας κτλ. usque ad nomen Perdicae producens); lacunam minime intellexerunt MM, qui textum codicis V sine mutatione praebent || 141—142 τόν τε

der Position (des Metropoliten) von Staurupolis, (sowie den Metropoliten) von Brysis, Keltzene, Christianupolis, Sugdaïa, Rhosion, Makre, Ganos und dem ehrwürdigsten designierten (Erzpriester) der heiligsten Metropolis Thessalonike, mit der diesbezüglichen Zustimmung meines aus Gott mächtigsten und heiligen Kaisers, da dieser durch seine ihm innewohnende Güte in Bezug auf die guten Dinge das Gute des Friedens und der Eintracht billigt und um die Wahrung aller kirchlichen Rechte und Privilegien bemüht ist, und erwählte ⟨den heiligsten Metropoliten von Keltzene, Hypertimos, im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, und⟩ den ehrwürdigsten Sakelliu unserer heiligsten Großen Kirche Gottes und Dikaiophylax, den im Heiligen Geist echtesten Sohn unserer Bescheidenheit, den Diakon Herrn Georgios Perdikes, und entsandte diese, da sie fromme, tüchtige und unentbehrliche Menschen sind und keine geringe Kenntnis der göttlichen und heiligen Kanones besitzen, aber auch anderweitig aufgrund ihres Charakters und ihrer Verständigkeit überaus vertrauenswürdig sind, als Gesandte zur Durchführung der besagten Untersuchung.

Diese sollen sich nach Rußland begeben und alle dortigen gottgeliebtesten Bischöfe, die der weite Weg nicht daran hindert, aber auch die edelsten Großfürsten zu einer Zusammenkunft einladen. Zu dieser Versammlung soll sich ebenso der heiligste Metropolit, Herr Romanos, persönlich einfinden oder an seiner Stelle Gefolgsleute schicken. So soll eine Untersuchung durch die besagten Gesandten durchgeführt werden, und zwar unparteiisch, da Gott von oben (darüber) wacht, in Anwesenheit auch der Partei des Herrn Romanos, vor den gottgeliebtesten Bischöfen und den edelsten Fürsten, die um der besagten Angelegenheit willen zusammenkommen werden. Hierbei soll eine schriftliche und abgesicherte Beweisurkunde und Niederschrift all dessen, was in Zusammenhang mit den besagten Anschuldigungen gesagt und überprüft werden wird, erstellt und (diese Urkunde) durch die eigenhändigen Unterschriften

ἱερώτατον—συλλειτουργόν, καὶ supplevimus (cum A. S. Pavlov, editore Pamjatniki) ex linn. 42—44 documenti 262; cf. etiam Dar. Reg. 2434 [„Texte"] || 148 συναίσεως V || 151 κωλύει MM || 154 σύνταξιν MM || 156 τῶν τοιούτων ἀποκρισιαρίων scripsimus (cf. ἀποκρισιαρίους supra, lin. 149, et τῶν τοιούτων ἀποκρισιαρίων lin. 55 documenti 262); τοῦ τοιούτου ἀποκρισιαρίου V, MM

ὑπογραφαῖς οἰκειοχείροις τῶν τε θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων | ῥηγῶν καὶ ἑτέρων ἀξιοπίστων, ὡς ἂν ταύτης διακομισθείσης πρός τε τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον παρὰ τῶν τοιούτων ἀποκρισιαρίων, ἀκινδύνως σὺν βοηθείᾳ Θεοῦ ἐπαναστραφέντων, γένηται τὸ δόξαν τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων διαταγὴν καὶ ἀφαιρεθῇ ἐντεῦθεν ἡ ἐπερχομένη ὄχλησις κατὰ τοῦ χριστιανικοῦ τῆς Ῥωσίας γένους.

Εἴπερ οὖν οὐκ ἐθελήσει ὁ ἱερώτατος μητροπολίτης κῦρ Ῥωμανὸς δι' ἑαυτοῦ παραγενέσθαι εἰς τὴν γενησομένην ἐξέτασιν παρὰ τῶν τοιούτων ἀποκρισιαρίων μηνυμάτων γενομένων κανονικῶς πρὸς αὐτὸν ἢ οἰκείους ἐκπέμψαι ἀνθρώπους ἀντ' αὐτοῦ, ὀφείλουσιν οὗτοι δὴ οἱ ἀποκρισιάριοι κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἐμπειρίαν καὶ εἴδησιν τῶν θείων καὶ ἱερῶν κανόνων, καθὼς ἀνετέθησαν, ποιήσασθαι ἀκωλύτως τὴν τοιαύτην ἐξέτασιν ἐνώπιον τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν, ὡς ἂν καὶ οὕτως τὸν τρόπον τοῦτον ἐκκοπῇ πᾶσα πρόφασις καὶ αἰτία ἡ προξενοῦσα κακῶς καὶ ἀκανονίστως τὰ τοιαῦτα σκάνδαλα.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις, καταστρωθεῖσα ἐν τῷ ἱερῷ κωδικίῳ κατὰ μῆνα ἰούλιον τοῦ ,$ς^{οῦ}ω^{οῦ}ξθ^{ου}$ ἔτους.

Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ^{ης} †.*

---

164 post αὐτοκράτορα vocem supervacuam (cf. lin. 71 documenti 262) καὶ suppl. MM

der gottgeliebtesten Bischöfe und edelsten Fürsten und anderer glaubwürdiger Personen beglaubigt werden, damit sie (= die Urkunde) von diesen Gesandten, wenn sie gefahrlos mit Gottes Hilfe zurückkommen, zu meinem mächtigsten und heiligen Kaiser, zu unserer Bescheidenheit und zu der um sie versammelten göttlichen und heiligen Synode gebracht wird und das geschieht, was die göttliche und heilige Synode nach den Bestimungen der göttlichen und heiligen Kanones für richtig befindet und in der Folge die gegen das christliche Volk Rußlands anstürmende Bedrängnis hinweggenommen werde.

Wenn sich nun der heiligste Metropolit, Herr Romanos, weigert, nachdem Ladungen gemäß dem kanonischen Recht an ihn geschickt worden sind, persönlich bei der von diesen Gesandten durchzuführenden Untersuchung zu erscheinen oder Gefolgsleute an seiner Stelle zu schicken, sollen diese Gesandten gemäß der ihnen innewohnenden Erfahrung und gemäß (ihrer) Kenntnis der göttlichen und heiligen Kanones ihrem Auftrag entsprechend ungehindert diese Untersuchung vor den gottgeliebtesten Bischöfen und den edelsten Fürsten durchführen, damit auch auf diese Weise jeder Vorwand und jede Ursache, die in schlechter und unkanonischer Weise diese Auseinandersetzungen hervorrufen, beseitigt werden.

Zur diesbezüglichen Sicherung nämlich wurde auch die vorliegende Synodalpraxis expediert und (daraufhin) im Monat Juli des Jahres 6869 in das heilige Register eingetragen.

(Das Original) hatte auch (die Menologemunterschrift) von der ehrwürdigen Hand des Patriarchen: „Im Monat Juli der 14. Indiktion“.

260

Kallistos I. (?) erteilt Kaiser Ioannes V. Palaiologos (?) Ratschläge betreffend ein bevorstehendes Abkommen mit Genua und Venedig.

V 47, f. 221r–v — ⟨1361 (?)⟩[1]
MM I 430—431 (Nr. 184) — πιττάκιον (Z. 1)
PG 152, 1378—1379
Dar. Reg. 2437

Erwähnte Urkunden und Gesetze:
- a) Horismos des Kaisers ⟨Ioannes V. Palaiologos (?)⟩ an den Patriarchen ⟨Kallistos I. (?); unbestimmten Datums; Dö. Reg. 2863, dort fälschlich auf 15. Juni 1341—3. Februar 1347 datiert⟩ (ὁρισμός: Z. 9)
- b) (abzuschließende) Verträge mit Genua und Venedig (συμφωνία καὶ κατάστασις: Z. 11—12; ἀγάπη: Z. 36)
- c) (allgemeine Vertrags-)urkunden und Anordnungen des Kaisers (λόγοι καὶ ὁρισμοί: Z. 37).

† Πιττάκιον πατριαρχικὸν πρὸς τὸν βασιλέα

† Κράτιστε, θεόστεπτε, θεοδόξαστε, θεοπρόβλητε, θεοκυβέρνητε, θεομεγάλυντε, ἅγιέ μου δέσποτα βασιλεῦ· ὑγείαν καὶ εὐθυμίαν ψυχῆς, τοῦ θείου μοι καὶ βασιλικοῦ σώματος ῥῶσιν καὶ εὐεξίαν, τῶν ἀνὰ χεῖρας προκειμένων κοινωφελῶν ἔργων εὐόδωσιν καὶ πᾶν ἄλλό τι ἀγαθὸν καὶ σωτήριον ἐπεύχεται τῇ ἁγίᾳ βασιλείᾳ ἡ μετριότης ἡμῶν ἀπὸ Θεοῦ παντοκράτορος.

Εἰδέναι βουλόμεθα τὴν ἐκ Θεοῦ ἁγίαν βασιλείαν σου, ὅτι κατὰ τὸν θεῖον καὶ σεπτὸν αὐτῆς ὁρισμὸν διαμηνυθεῖσα ἡ μετριότης ἡμῶν παρεγέ-

2—3 κράτιστε—βασιλεῦ] cf. lin. 1 documenti originalis Callisti patriarchae ad Ioannem Palaiologum imperatorem anno 1355 (?) directi (ed. N. Oikonomidès, Actes de Docheiariou [*Archives de l'Athos* XIII]. Paris 1984, 197—198 [num. 31]): κράτιστε, θεόστεπτε, θεοδόξαστε, θεοπρόβλητε, θεοκυβέρνητε δέσποτά μου ἅγιε

[1] Dar. Reg. 2437 vermutet (aufgrund der Stellung des Dokuments in der Registerhandschrift) das Jahr 1361, doch lassen sich damit die im Schreiben angedeuteten historischen Fakten (Abwesenheit des Kaisers von Konstantinopel!) nicht befriedigend in Einklang bringen; abzulehnen ist Dölgers Datierung auf die Jahre 1341—1347 (vgl. Dö. Reg. 2863).

260

Überschrift (1). *Vokativische Anrede des Empfängers* (2—3). *Wünsche für das Wohlbefinden des Empfängers* (3—7). *Mitteilung über Beratungen des Patriarchen mit der Kaiserin und dem Senat über ein Abkommen mit Genua und Venedig* (8—19). *Mitteilung über die dabei geäußerten Standpunkte des Patriarchen* (20—41). *Schlußgruß* (42 bis 45).

Pittakion des Patriarchen (von Konstantinopel) an den Kaiser (Ioannes V. Palaiologos)

Mein mächtigster, gottgekrönter, gottgepriesener, von Gott eingesetzter, gottgelenkter, gotterhöhter, heiliger Herr und Kaiser! Gesundheit und Heiterkeit der Seele, Stärke und gute Verfassung des mir göttlichen und kaiserlichen Körpers, gutes Gelingen der anstehenden Angelegenheiten des Allgemeinwohls und alles andere, was gut und heilbringend ist, erbetet für Deine heilige Majestät unsere Bescheidenheit von Gott dem Allherrscher.

Wir wollen Deiner aus Gott (stammenden) heiligen Majestät zur Kenntnis bringen, daß sich unsere Bescheidenheit, wie ihr durch

βασιλεῦ || 3—7 ὑγείαν—παντοκράτορος] cf. linn. 2—5 documenti Callisti ad imperatorem Ioannem directi (cf. adnotationem ad lin. 2—3 pertinentem): ... βίον πολυετῆ τὲ καὶ εὔθυμον, τῶν προκειμένων κοινωφελῶν ἔργων εὐόδωσιν καὶ πᾶν, ὅ τι ἀγαθὸν καὶ σωτήριον, ἐπευχόμεθα τῇ ἁγίᾳ ἐκ Θεοῦ βασιλείᾳ σου ἀπὸ Κυρίου παντοκράτορος ... ἡ μετριότης ἡμῶν || 8 εἰδέναι—βασιλείαν σου] cf. lin. 6 documenti in adnotationibus praecedentibus laudati

1 titulus in V (manu prima) in fine documenti praecedentis scriptus || 2 θεόσεπτε MM || 4 μοι] σου MM || 5 εὐόδησιν MM | ἄλλό τι] ἄλλον, ὅ τι MM || 9 αὐτῆς om. MM

νετο εἰς τὴν κρατίστην καὶ ἁγίαν μου δέσποιναν. συναθροισθέντων οὖν καὶ τῶν τῆς συγκλήτου ἀρχόντων, ἐλέχθη|σαν τὰ περὶ τῆς συμφωνίας καὶ καταστάσεως τῶν τε Γεννουιτῶν καὶ Βενεϊτῶν, ὅπως τὲ προσήκει προχωρῆσαι αὐτὴν καὶ κατὰ ποῖον δεῖ τρόπον ἀποκαταστῆναι, ἐφῷ οὐδεμίαν ὄχλησιν καὶ ζημίαν γενέσθαι τοῖς Ῥωμαίοις. τούτων οὖν οὕτω
221v λεχθέντων διωρίσατο καὶ ἀπελογήσατο || καὶ ἡ ἁγία μου δέσποινα — ἅτε δὴ διανοίας ὀξυτάτης οὖσα καὶ συνδρομῇ πασῶν τῶν χαρίτων καὶ φρονήσεως ἐπ᾽ ἄκρον ἥκουσα τῇ τοῦ Θεοῦ χάριτι —, ὅσαπερ ἔμελλε καὶ ἡ ἁγία βασιλεία σου παροῦσα ἐνταῦθα διορίσασθαι, ἃ δῆτα καὶ ἔστερξαν καὶ οἱ τῆς συγκλήτου ἄρχοντες.

Πρὸς οὖν τοὺς τοιούτους λόγους, ἅπερ ἀπελογήσατο ἡ μετριότης ἡμῶν, συντείνοντα εἰς σύστασιν καὶ ὠφέλειαν, σὺν Θεῷ, τῆς βασιλείας καὶ τῶν Ῥωμαίων, ταῦτά ἐστι·

Πρῶτον μὲν διαμένειν τὴν τοῦ Θεοῦ ἐκκλησίαν ἀτάραχον καὶ ἔξω πάσης ἡστινοσοῦν ἐπηρείας τῆς ἀπὸ τῶν λατινικῶν κινουμένης δογμάτων· τοῦτο δὲ εἴρηκεν ἡ μετριότης ἡμῶν οὐχ, ὅτι ἄλλως ἡγεῖται τὴν ἁγίαν βασιλείαν σου περὶ τούτων ἔχειν — πάλαι γὰρ οἶδε ταύτην ἐμμένουσαν μὲν τοῖς πατρῴοις δόγμασι καὶ ἐστηριγμένην ἐν τούτοις παγίως, ἀποδιώκουσαν δὴ πᾶν ἀλλότριον δόγμα καὶ νόθον τῆς τοῦ Θεοῦ ἐκκλησίας —, ἀλλὰ διὰ τὰς ὑπολήψεις τὲ καὶ ὑποψίας, ἃς ἔχουσιν οἱ πολλοί.

Δεύτερον ἐπὶ τούτοις μηδὲν τῶν ὑποκειμένων τῇ βασιλείᾳ καὶ τοῖς Ῥωμαίοις πραγμάτων ὑπὸ ἐξουσίαν ἑτέρων ποιῆσαι.

Τρίτον, μηδὲν ἕτερον προσθεῖναι κεφάλαιον μεῖζον, ἐπειδήπερ ἐν πολλῇ καὶ μεγάλῃ ἐνδείᾳ καὶ ταλαιπωρίᾳ καὶ στενοχωρίᾳ τὰ τῶν Ῥωμαίων εἰσί.

Πρὸς τούτοις γενέσθαι καὶ τὴν ἀγάπην ἁπλῶς ἄνευ ὅρκου τινός. οἱ γὰρ τῆς ἁγίας βασιλείας σου λόγοι καὶ ὁρισμοὶ διὰ τῆς τοῦ Θεοῦ χάριτος τὸ ἰσχυρὸν καὶ βέβαιον ἔχουσι καὶ οὐκ ἀσφαλείας ὅρκων δέονται.

---

13 δεῖ] δὴ MM || 16 συνδρομῇ] litt. συν ex εν corr. V || 20 ante οὖν vocem τοὺς scripsit V; sic et MM || 25 οὐχότι V || 35 εἰσίν MM

den heiligen und verehrungswürdigen Horismos (Deiner Majestät) bedeutet worden war, bei meiner mächtigsten und heiligen Herrin eingefunden hat. Als sich auch die Führer des Senats versammelt hatten, wurde über den Vertrag und das Abkommen betreffend die Genuesen und Venezianer gesprochen, wie dieser vorangetrieben und auf welche Weise (er) wiederhergestellt werden solle, auf daß den Rhomäern (daraus) keinerlei Ärgernis oder Schaden erwachse. Nachdem man also in dieser Form darüber gesprochen hatte, traf auch meine heilige Herrin Anordnungen und gab Erklärungen ab — besitzt sie doch einen äußerst scharfen Verstand und verfügt gemeinsam mit allen Gaben durch Gottes Gnade auch über ein Höchstmaß an Einsicht —, wie dies auch Deine heilige Majestät, wenn sie hier anwesend gewesen wäre, angeordnet hätte, was auch die Führer des Senats billigten.

Was nun unsere Bescheidenheit auf diese Überlegungen erwiderte und was mit Gottes Hilfe zum Wohlergehen und Nutzen der Majestät und der Rhomäer beiträgt, ist folgendes:

Erstens soll die Kirche Gottes ohne Störung außerhalb jeglicher von den lateinischen Glaubensgrundsätzen ausgehenden Beeinflussung bleiben. Dies sagte unsere Bescheidenheit nicht, weil sie glaubt, daß Deine heilige Majestät diesbezüglich anderer Meinung ist — denn sie (= unsere Bescheidenheit) weiß seit jeher, daß sie (= Deine Majestät) den väterlichen Glaubensgrundsätzen treu und in diesen fest verankert ist sowie jeden fremden und verfälschten Glaubensgrundsatz aus der Kirche Gottes vertreibt —, sondern wegen den Ansichten und Verdächtigungen, die die breite Masse äußert.

Zweitens {in diesem Zusammenhang} soll nichts von dem, was der Majestät und den Rhomäern untersteht, unter die Macht anderer gestellt werden.

Drittens soll kein weiteres allzu großes Kapitel hinzugefügt werden, weil sich das (Gemeinwesen) der Rhomäer in überaus großer Not, Elend und Bedrängnis befindet.

Weiters soll der Vertrag einfach und ohne irgendeine Eidesleistung geschlossen werden; denn die Logoi und Horismoi Deiner heiligen Majestät haben ihre Kraft und Sicherheit durch die Gnade Gottes und bedürfen nicht der Sicherung durch Eide.

Ταῦτα συνεβούλευσε καὶ στέργει ἡ μετριότης ἡμῶν, ἡγεῖται δὲ καὶ πάντα Χριστιανόν, τὰ τῶν Ῥωμαίων βουλόμενον συνίστασθαι πράγματα καὶ τὴν ἀλήθειαν ἀσπαζόμενον, ἐπαινέσαι τε ταῦτα καὶ ἀποδέξασθαι.

Κύριος ὁ Θεὸς εἴη διατηρῶν καὶ περιφρουρῶν τὴν ἁγίαν βασιλείαν σου ὑγιαίνουσαν καὶ εὐθυμοῦσαν καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος εἰς κοινὸν τῶν Ῥωμαίων ὄφελος καὶ χαρίσαιτο αὐτῇ μετὰ καὶ τῆς παρούσης καὶ τὴν ἐν οὐρανοῖς καὶ εἰσαεὶ διαμένουσαν βασιλείαν †. || |

42—45 Κύριος—βασιλείαν] cf. linn. 19—22 documenti originalis patriarchae Callisti ad imperatorem Ioannem Palaiologum anno 1355 (?) directi (cf. adnotationem ad linn. 2—3 huius documenti pertinentem): Κύριος ὁ Θεὸς εἴη περιφρουρῶν τὴν ἁγίαν βασιλείαν σου ὑγιαίνουσαν καὶ εὐθυμοῦσαν καὶ ἐν ἅπασι καὶ ἀβλαβῆ ψυχῇ καὶ σώματι καὶ ὑπερτέραν παντὸς ἀνιαροῦ συναντήματος καὶ χαρίσαιτο αὐτῇ μετὰ τῆς παρούσης καὶ τὴν ἐν οὐρανοῖς καὶ εἰσαεὶ διαμένουσαν βασιλείαν

---

43 εὐθυμοῦσαν] litt. οῦ ex corr. V || 44 αὐτῇ] αὐτὴν MM || 45 post finem documenti reliqua pars f. 221v et totum f. 222r (sed nota probationem pennae in superiore parte: † τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου) scriptura carent

261

Kallistos I. und die Synode erklären sich Zar Ivan III. Aleksandăr gegenüber mit der Vereinbarung zwischen Kaiser Ioannes V. Palaiologos und Zar Ivan III. Aleksandăr von Bulgarien, betreffend unter anderem die Vermählung von deren Kindern, Andronikos IV. Palaiologos und Keratsa, einverstanden und stellen einen eventuellen Bruch der Vereinbarung seitens einer der beiden Parteien unter Strafe.

V 47, f. 222v	μηνὶ αὐγούστῳ ιζ̄η, ἡμέρᾳ δευτέρᾳ,
MM I 432—433 (Nr. 185)	ἰνδικτιῶνος η̄ης, ἔτους ,ςοῦω̄οῦξγ̄ου (Z. 7—8)
PG 152, 1379—1380	Montag, 17. August 6863 (= 1355)
Dar. Reg. 2381	συνοδικὴ πρᾶξις (Z. 24—25 und 35; vgl. auch Z. 1)

Erwähnte Urkunden und Gesetze:

a) Horismos des Kaisers ⟨Ioannes V. Palaiologos; kurz vor 17. August 1355; Dö. Reg. 3046⟩ an den Patriarchen ⟨Kallistos I.⟩ und die Synode, zu dem Abkommen mit dem Zaren Ivan III. Aleksandăr hinsichtlich der Vermäh-

Dies riet und vertritt unsere Bescheidenheit und sie glaubt, daß auch jeder Christ, der den guten Bestand des rhomäischen Gemeinwesens wünscht und dem die Wahrheit lieb ist, dies loben und gutheißen wird.

Möge Gott, der Herr, zum gemeinsamen Nutzen der Rhomäer Deine heilige Majestät gesund, froh und erhaben über jede lästige Heimsuchung bewahren und schützen und ihr gemeinsam mit der gegenwärtigen Herrschaft auch das in Ewigkeit dauernde Königreich im Himmel schenken.

261

Überschrift (1—6). *Versammlung der Synode, um auf Befehl des Kaisers über dessen Abkommen mit Zar Ioannes Alexandros Asanes zu beraten* (7—17). *Zustimmung zu diesem Abkommen* (18—23). *Androhung der Exkommunikation für die das Abkommen verletzende Partei* (23—27). *Versicherung der besonderen Hilfe Gottes und des Segens der Kirche für den Zaren der Bulgaren bei Einhaltung des Abkommens* (28—33). *Ausstellungsvermerk* (34—37). *Unterschriften des Patriarchen von Konstantinopel und der Mitglieder der Synode* (38—55).

lung seines Sohnes Andronikos mit Keratsa, der Tochter des Zaren, Stellung zu nehmen (ὁρισμός: Z. 10)

b) Abkommen zwischen Kaiser Ioannes V. Palaiologos und Zar Ivan III. Aleksandăr betreffend die Vermählung des Sohnes des ersteren, Andronikos, mit der Tochter des letzteren, Keratsa, ⟨ca. 17. August 1355; Dö. Reg. 3047⟩ (πρᾶξις ... καὶ λοιπὴ κατάστασις: Z. 12—13; ὅρκοι: Z. 18 und 26)

c) schriftliche Eidesleistung ⟨kurz vor August 1355⟩ seitens des Zaren Ivan III. Aleksandăr betreffend die Einhaltung des Heiratsabkommens b), gerichtet an Kaiser Ioannes V. Palaiologos und die Synode in Konstantinopel (ὁρκωμοτικόν: Z. 29; vgl. auch ὅρκοι [Z. 29]).

222v † Πρᾶξις συνοδικὴ ἡ γεγονυῖα περὶ τῆς συμπενθερίας τοῦ τε αὐτοκράτορος τῶν Ῥωμαίων, κῦρ Ἰωάννου τοῦ Παλαιολόγου, καὶ τοῦ βασιλέως τῶν Βουλγάρων, κῦρ Ἰωάννου Ἀλεξάνδρου τοῦ Ἀσάνη, ἐπί τε τῷ βασιλεῖ κῦρ Ἀνδρονίκῳ, τῷ υἱῷ τοῦ βασιλέως Παλαιολόγου, καὶ τῇ θυγατρὶ τοῦ βασιλέως τῶν Βουλγάρων †

† Μηνὶ αὐγούστῳ ι̅ζ^{η}, ἡμέρᾳ δευτέρᾳ, ἰνδικτιῶνος η̅^{ης}, ἔτους ,ς^{οῦ}ω̅^{οῦ} ξγ̅^{ου}, συνήλθομεν πάντες οἱ κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν ἀρχιερεῖς συνοδικῶς μετὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ κοινῶς συνδιεσκεψάμεθα περὶ τῆς συμπενθερίας καὶ πράξεως, ἔτι δὲ καὶ λοιπῆς καταστάσεως τῆς γεγονυίας μεταξὺ τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ, ἀλλὰ δὴ καὶ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, κῦρ Ἰωάννου Ἀλεξάνδρου τοῦ Ἀσάνη, ἐπί τε τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κῦρ Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, καὶ τῇ θυγατρὶ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, κυρᾷ Κυράτζᾳ.

Ἔνθέν τοι καὶ ἰδόντες τοὺς προβάντας ὅρκους παρ᾿ ἀμφοτέρων καὶ ἀναλογισάμενοι καὶ κρίναντες, εἰς ὅσην ἀφορᾷ τοῦτο κοινὴν σύστασιν καὶ ὠφέλειαν τῶν Χριστιανῶν, Ῥωμαίων καὶ Βουλγάρων, καὶ βλάβην τῶν ἀσεβῶν, ἤδη ἀπὸ κοινῆς γνώμης καὶ ψήφου συμφωνοῦμεν καὶ ἀποφαινόμεθα, ἵνα γένηται τοῦτο ἀκωλύτως καὶ ἀνεμποδίστως μετὰ τοῦ ἐλέους τοῦ Θεοῦ καὶ τῆς εὐχῆς καὶ εὐλογίας ἡμῶν. εἴ τὶς δὲ βουληθῇ ἀπὸ τούτων εἰς ἀθέτησιν χωρῆσαι καὶ κατάλυσιν τῆς τοιαύτης συνοδικῆς

2 τε om. MM | κῦρ supra lin. V, om. MM || 24 εἰς κατάλυσιν χωρῆσαι καὶ ἀθέτησιν V, MM, sed litteris α et β suprascriptis has voces transponendas esse indicavit V

Synodalpraxis, betreffend die Verschwägerung des Autokrators der Rhomäer, Herrn Ioannes (V.) Palaiologos, und des Zaren der Bulgaren, Herrn Ioannes Alexandros Asanes, im Hinblick auf den Kaiser, Herrn Andronikos (IV.), den Sohn des Kaisers (Ioannes V.) Palaiologos, und die Tochter des Zaren der Bulgaren

Am Montag, dem 17. August der 8. Indiktion, des Jahres 6863 haben wir, alle Erzpriester in der von Gott ausgezeichneten, beschützten und erhöhten Stadt Konstantinopel, uns im Rahmen der Synode mit unserem hochheiligsten Herrn, dem ökumenischen Patriarchen, auf Befehl unseres mächtigen und heiligen Gebieters und Kaisers versammelt. Gemeinsam haben wir die Verschwägerung und den Vertrag untersucht sowie das sonstige (daraus) erfließende Verhältnis zwischen seiner mächtigen und heiligen Majestät und dem erhabensten Zaren der Bulgaren, dem Herrn Ioannes Alexandros Asanes, im Hinblick auf unseren mächtigen und heiligen Gebieter und Kaiser, Herrn Andronikos Palaiologos, und die Tochter des erhabensten Zaren der Bulgaren, Frau Kyratza.

Wir bekamen die von beiden Seiten ergangenen Eide zu sehen, überlegten und beurteilten, wie sehr dies dem gemeinsamen Wohlergehen und Nutzen der Christen, der Rhomäer und der Bulgaren, dient und den Gottlosen schadet, und erklären und entscheiden nunmehr einmütig und einstimmig, dies möge mit Gottes Erbarmen und mit unserem Gebet und Segen ohne jedes Hindernis und Hemmnis vor sich gehen. Sollte jemand von diesen die Absicht haben, an die Annullierung und Auflösung dieser Synodalpraxis zu

πράξεως καὶ συμπλάττειν προφάσεις τινὰς εἰς κατάλυσιν τῶν γενομένων ὅρκων παρ' ἀμφοτέρων, ὡς δεδήλωται, ἵνα ἔνι ἔξω τοῦ Χριστοῦ καὶ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας αὐτοῦ.

Εἴπερ δὴ καὶ ὁ ὑψηλότατος βασιλεὺς τῶν Βουλγάρων στέργει καὶ ἀποπληροῖ ἀπαραβάτους τοὺς ὅρκους, οὓς ὤμοσε διὰ τοῦ ὁρκωμοτικοῦ αὐτοῦ τοῦ γεγονότος καὶ ἀποσταλέντος εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα καὶ εἰς τὴν | ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ὡς ἂν καὶ ἔτι περισσοτέρως ἔχῃ πρότερον μὲν τὴν ἀπὸ τοῦ Θεοῦ βοήθειαν, ἔπειτα δὲ καὶ περισσοτέρας καὶ θερμοτέρας τὰς παρ' ἡμῶν εὐχάς τε καὶ εὐλογίας.

Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις, πιστωθεῖσα καὶ ταῖς οἰκειοχείροις ἡμῶν ὑπογραφαῖς, ἥτις ἀπεστάλη ἰδοὺ πρὸς τὸν διαληφθέντα ὑψηλότατον βασιλέα τῶν Βουλγάρων διὰ βεβαίωσιν καὶ ἀσφάλειαν †.

† Εἶχε διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς καὶ τό· *Κάλλιστος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης †.*

† Ὁ Ἡρακλείας ὑπέρτιμος Μητροφάνης †.
† Ὁ Θεσσαλονίκης μητροπολίτης καὶ ὑπέρτιμος Γρηγόριος †.
† Ὁ Νικαίας μητροπολίτης καὶ ὑπέρτιμος Μανασσῆς.
† Ὁ Χαλκηδόνος μητροπολίτης καὶ ὑπέρτιμος Ἰάκωβος.
† Ὁ Ῥόδου μητροπολίτης καὶ ὑπέρτιμος Ἰωάννης.
† Ὁ Χριστουπόλεως μητροπολίτης καὶ ὑπέρτιμος Μακάριος.
† Ὁ Σηλυβρίας μητροπολίτης καὶ ὑπέρτιμος Ἡσαΐας.
† Ὁ ταπεινὸς μητροπολίτης Μιτυλήνης καὶ ὑπέρτιμος Ἰωσήφ †.
† Ὁ Βρύσεως μητροπολίτης καὶ ὑπέρτιμος Θεοδώρητος †.
† Ὁ Ῥωσίου μητροπολίτης καὶ ὑπέρτιμος Θεόδουλος †.
† Ὁ Λιτβῶν μητροπολίτης καὶ ὑπέρτιμος Ῥωμανός †.
† Ὁ Γαρέλλης μητροπολίτης καὶ ὑπέρτιμος Ἰωαννίκιος †.
† Ὁ Περιθεωρίου μητροπολίτης καὶ ὑπέρτιμος Δωρόθεος †.
† Ὁ Βιζύης μητροπολίτης καὶ ὑπέρτιμος Νεόφυτος †.
{† Ὁ Ἀγαθοπόλεως μητροπολίτης καὶ ὑπέρτιμος Μακάριος.} ||

25 post συμπλάττειν spatium ca. 3 litt. habet V || 41sqq. ordinem subscriptionum metropolitarum (in V duobus columnis dispositarum) MM turbaverunt, cum primum nomina primae columnae, deinde nomina alterius columnae typis impresserunt; v. correctionem apud DAR. Reg. 2381 || 46 Μακάριος καὶ ὑπέρτιμος V, MM, sed litteris α et β suprascriptis has voces transponendas esse indicavit V ||

schreiten und irgendwelche Vorwände zur Auflösung der von beiden Seiten, wie dargelegt, erfolgten Eide fingieren, so soll (der Betreffende) getrennt sein von Christus und seiner heiligen katholischen und apostolischen Kirche.

Wenn der erhabenste Zar der Bulgaren die Eide, die er im Rahmen seiner schriftlichen Eideserklärung an unseren mächtigen und heiligen Gebieter und Kaiser sowie an die heilige Kirche Gottes gemacht und gesandt hat, erfüllt und unverbrüchlich hält, so soll er zunächst in noch reicherem Maße die Hilfe Gottes, ferner unsere noch reicheren und warmherzigeren Gebete und Segenswünsche erhalten.

Denn zur diesbezüglichen Sicherung erging auch unsere vorliegende Synodalpraxis, beglaubigt durch unsere eigenhändigen Unterschriften, die an den genannten erhabensten Zaren der Bulgaren zur Bekräftigung und Sicherheit gesandt wurde.

(Das Original) hatte auch (die Unterschrift) von der ehrwürdigen Hand des Patriarchen: „Kallistos durch das Erbarmen Gottes Erzbischof von Konstantinopel, des Neuen Rom, und ökumenischer Patriarch".

Metrophanes, (Metropolit) von Herakleia, Hypertimos.
Gregorios, Metropolit von Thessalonike und Hypertimos.
Manasses, Metropolit von Nikaia und Hypertimos.
Iakobos, Metropolit von Chalkedon und Hypertimos.
Ioannes, Metropolit von Rhodos und Hypertimos.
Makarios, Metropolit von Christupolis und Hypertimos.
Hesaias, Metropolit von Selybria und Hypertimos.
Ioseph, demütiger Metropolit von Mitylene und Hypertimos.
Theodoretos, Metropolit von Brysis und Hypertimos.
Theodulos, Metropolit von Rhosion und Hypertimos.
Romanos, Metropolit von Litauen und Hypertimos.
Ioannikios, Metropolit von Garella und Hypertimos.
Dorotheos, Metropolit von Peritheorion und Hypertimos.
Neophytos, Metropolit von Bizye und Hypertimos.
{Makarios, Metropolit von Agathopolis und Hypertimos.}

55 subscriptionem „metropolitae" Agathopolis fraudulenter add. man. post. (cf. O. KRESTEN, Die angebliche „Metropolis" Agathopolis im 14. Jahrhundert. *REB* 38 [1980] 195—218 [cum tabula phototypice expressa]) | post finem documenti quinta fere pars f. 222v scriptura caret in V

262

Kallistos I. befiehlt dem Metropoliten Roman von Litauen, bei der von den Gesandten des Patriarchen durchzuführenden Untersuchung zu erscheinen, welche die Rechtsbrüche des Roman gegen den Metropoliten Aleksej von Kiev untersuchen sollen.

V 47, f. 223^{r-v}	μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ^{ης} (Z. 86—87)
MM I 434—436 (Nr. 185bis)	Juli ⟨1361⟩
PG 152, 1380—1382	(vgl. παραδηλοῖ [Z. 53], παρακελευόμεθα
Dar. Reg. 2435	[Z. 59] und παρακελεύεται [Z. 83—84])

ed. Pamjatniki drevne-russkago kanoničeskago prava I (*Russkaja istoričeskaja biblioteka* VI). St. Peterburg ^{2}1908, Prilož., 85—91 (Nr. 14) (nach MM) (im folgenden nicht herangezogen)

Erwähnte Urkunden und Gesetze:

a) Entscheidung des Kaisers ⟨Ioannes V. Palaiologos; Sommer 1356; Dö. Reg. 3045⟩: Bestätigung von Novogrodek als Sitz des Metropoliten ⟨Roman⟩ von Litauen und der diesem Sitz unterstellten Bistümer Polocz und Turov; zusätzliche Unterstellung der Bistümer Klein-Rußlands unter ⟨Roman⟩ (vgl. ψήφῳ βασιλικῇ [Z. 7 und 16—17]) (vgl. auch Nr. 259, erwähnte Urkunde e)

b) Synodal⟨praxis⟩ des Patriarchen ⟨Kallistos I.; Sommer 1356; Dar. Reg. 2394 (teilweise)⟩: Bestätigung der kaiserlichen Entscheidung a) (vgl. ψήφῳ ... συνοδικῇ τῆς ἡμῶν μετριότητος [Z. 7]) (vgl. auch Nr. 259, erwähnte Urkunde f) (vgl. dort auch die erwähnte Urkunde d)

c) schriftliche Eingabe des Metropoliten Aleksej von Kiev an den Patriarchen ⟨Kallistos I.⟩ betreffend die Rechtsbrüche des Metropoliten ⟨Roman⟩ von Litauen (vgl. ἀνήνεγκεν ἐγγράφως [Z. 13])

d) (schriftliche?) Berichte aus Rußland an den Patriarchen ⟨Kallistos I.⟩ über unkanonische Handlungen des Metropoliten ⟨Roman⟩ von Litauen (vgl. [πολλάκις] ἀνηνέχθη [Z. 15 und 33]) (vgl. auch Nr. 259, erwähnte Urkunde i)

e) Synodalpraxis des Patriarchen ⟨Kallistos I.; Sommer 1356; Dar. Reg. 2395 (teilweise)⟩: Festlegung der Jurisdiktionsgrenzen der Metropolis von Kiev und ganz Rußland und der Metropolis von Litauen; Verbot der Einmischung in die Jurisdiktion des jeweils anderen Sprengels (συνοδικὴ ἔγγραφος πρᾶξις: Z. 16) (vgl. auch Nr. 259, erwähnte Urkunde g) (vgl. dort auch die erwähnten Urkunden d und f)

f) (gesonderte?) schriftliche Versicherung des Metropoliten ⟨Roman⟩ von Litauen, den Inhalt von e) zu wahren (vgl. ἐνεγράψω [Z. 22]) (vgl. auch Nr. 259, erwähnte Urkunde l)

262

Vokativische Anrede des Empfängers (1—2). *Segenswünsche* (2—3). *Erinnerung an den Synodalentscheid zur Schlichtung der Differenzen zwischen dem Metropoliten von Kiev und ganz Rußland, Alexios, und dem Metropoliten von Litauen, Romanos* (4—12). *Vorhaltung der gegen Romanos vor der Synode vorgebrachten Anschuldigungen* (12—33). *Mitteilung über die Entsendung zweier Gesandter nach Rußland zwecks Ausforschung der tatsächlichen Vorfälle und Vermittlung zwischen den Streitparteien* (34—52). *Aufforderung an den Metropoliten Romanos, persönlich bei der vorzunehmenden Untersuchung zu erscheinen oder im Verhinderungsfalle Vertreter zu entsenden* (53—62). *Mitteilung über den den Gesandten erteilten Auftrag, die Untersuchung auf jeden Fall durchzuführen und darüber ein Protokoll zu verfassen* (62—74). *Androhung der Verurteilung für den Fall der Mißachtung der ergangenen Synodalpraxis* (75—84). *Schlußgruß* (85). *Datierung* (86—87).

g) frühere Ermahnung(en) des Patriarchen ⟨Kallistos I.; ca. 1358—1360; DAR. Reg. 2406⟩ an den Metropoliten ⟨Roman⟩ von Litauen, sich an den Inhalt von e) zu halten (ἔγραφεν: Z. 23) (vgl. auch Nr. 259, erwähnte Urkunde k)

h) Synodalbeschluß des Patriarchen ⟨Kallistos I.; Juli 1361; DAR. Reg. 2434⟩ (= oben, Nr. 259): Einsetzung des Metropoliten ⟨Dionysios⟩ von Keltzene und des Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, als Gesandte nach Rußland zur Untersuchung der von dem Metropoliten ⟨Roman⟩ von Litauen gegen den Metropoliten Aleksej von Kiev begangenen Rechtsbrüche (συνοδικὴ διάγνωσις καὶ ἀπόφασις: Z. 81; vgl. auch ἐξέπεμψεν ἐκλεξαμένη ἀποκρισιαρίους [Z. 41—42] und ἐτάχθη καὶ διεκρίθη συνοδικῶς [Z. 63])

i) Bestätigung der Ernennung der patriarchalen Gesandten nach Rußland, des Metropoliten ⟨Dionysios⟩ von Keltzene und des Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, durch Kaiser ⟨Ioannes V. Palaiologos; Juli 1361; fehlt bei DÖ. Reg.⟩ (vgl. ἐπευδοκήσαντος ... τοῦ ... αὐτοκράτορος [Z. 39—40]) (vgl. auch Nr. 259, erwähnte Urkunde m)

j) von den patriarchalen Gesandten, dem Metropoliten ⟨Dionysios⟩ von Keltzene und dem Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, in Rußland auszustellende Ladungen an den Metropoliten ⟨Roman⟩ von Litauen mit der Aufforderung, zur Untersuchung der gegen ihn vorgebrachten Anschuldigungen persönlich zu erscheinen oder Vertreter zu entsenden (vgl. διαμηνύσωνται [Z. 51]) (vgl. auch Nr. 259, erwähnte Urkunde o)

k) zu erstellendes Protokoll über die von den Gesandten, dem Metropoliten ⟨Dionysios⟩ von Keltzene und dem Sakelliu der Großen Kirche und Dikaiophylax, Georgios Perdikes, in Rußland durchzuführende Untersuchung, beglaubigt durch die Unterschriften der an der Untersuchung Beteiligten (vgl. ἐγγράφως [Z. 68]) (vgl. auch Nr. 259, erwähnte Urkunde n).

223r † Ἱερώτατε μητροπολῖτα Λιτβῶν, ὑπέρτιμε, ἀγαπητὲ κατὰ Κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη παρὰ Θεοῦ τῇ σῇ ἱερότητι.

Οἶδας, ὅπως συνέβησαν τὰ μεταξὺ τῆς σῆς ἱερότητος καὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ἀγαπητοῦ κατὰ Κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, καὶ ὅπως διεκρίθη ψήφῳ βασιλικῇ καὶ συνοδικῇ τῆς ἡμῶν μετριότητος ἔχειν τὴν μὲν ἱερότητά σου σὺν ταῖς οὔσαις τῇ τῶν Λιτβῶν ἐπαρχίᾳ δυσὶν ἐπισκοπαῖς τὸ Πολούτζικον καὶ Τούροβον μετὰ καὶ τοῦ Νοβογραδο-

8—10 cf. linn. 53—55 documenti 259 huius editionis

Heiligster Metropolit von Litauen, Hypertimos, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit! Möge Gnade und Frieden Deiner Heiligkeit von Gott zuteil werden.

Du weißt, daß es zu den (Vorfällen) zwischen Deiner Heiligkeit und dem heiligsten Metropoliten von Kiev und ganz Rußland, Herrn Alexios, unserem im Herrn geliebten priesterlichen Mitbruder, kam und daß mit dem Votum des Kaisers, der Synode und unserer Bescheidenheit beschlossen wurde, daß Deine Heiligkeit zusätzlich zu den beiden der Provinz von Litauen gehörenden Bistümern Polutzikon und Turobon zusammen mit Nobogradopulon

6 post ἀδελφοῦ voces τῆς ἡμῶν μετριότητος canc. V || 9—10 Νοβογραδόπουλου V, Νοβογραδοπουλ... MM; cf. etiam Νοβογραδοπουλίου in lin. 54 documenti 259 huius editionis

πούλου καὶ τὰς τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπάς, τὸν δέ γε ἱερώτατον μητροπολίτην, κῦρ Ἀλέξιον, τὸ Κύεβον καὶ πάσας τὰς τῆς Ῥωσίας ἐπισκοπάς, καθὼς καὶ τὴν ἀρχὴν ἐχειροτονήθη. καὶ αὐτὸς μὲν καί, ὡς ἀνήνεγκεν ἐγγράφως καὶ ἀπὸ τοῦ πράγματος ἀναφαίνεται, στέργει καὶ ἐμμένει ἀπαραβάτως τοῖς διαγνωσθεῖσι τούτοις, ὡς εἴρηται, ἡ δὲ ἱερότης σου, ὡς πολλάκις ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, παρουδὲν θέμενος τὴν γεγονυῖαν τηνικαῦτα συνοδικὴν ἔγγραφον πρᾶξιν, κυρωθεῖσαν καὶ ψήφῳ βασιλικῇ, καθὼς ἀνωτέρω δεδήλωται, παρεισήχθης εἰς τὸ Κύεβον καὶ ἱερούργησας, διαπραξάμενος καί τινα ἕτερα ἀνήκοντα γνησίῳ ἀρχιερεῖ, καὶ οὐ μόνον ἐκεῖσε, ἀλλὰ καὶ τὸ Μπριάνισκον, ἐπισκοπὴν οὖσαν τοῦ αὐτοῦ κῦρ Ἀλεξίου, καὶ ἁπλῶς εἰπεῖν διόχλου ἀεὶ γίνῃ αὐτῷ ἐπιτιθέμενος ἐπὶ πᾶσι τοῖς ἐκκλησιαστικοῖς αὐτοῦ δικαίοις, πρᾶγμα ποιῶν ἔξω τῆς ἀκριβείας τῶν θείων καὶ ἱερῶν κανόνων, οὓς ἐνεγράψω φυλάττειν ἀνοθεύτους καὶ ἀπαρεγχειρήτους. δι' ἣν αἰτίαν καὶ ἔγραφεν ἡ μετριότης ἡμῶν πρὸς τὴν ἱερότητά σου πρό τινος ἤδη καιροῦ καὶ ἅπαξ καὶ δίς, ὡς ἄν, εἴπερ τολμῶνται ταῦτα παρά σου, ἀποστῇς τοῦ μηκέτι τοιαῦτα ποιεῖν, προξενοῦντα σοι καὶ ψυχικὴν βλάβην καὶ ὕφεσιν τῆς τιμῆς σου.

Ἀρτίως δὲ πάλιν {ὡς} ἐγνώρισεν ἡ μετριότης ἡμῶν ἀπὸ τῶν αὐτόθι ἐρχομένων, ὡς οὐ μόνον ἐργάζῃ τὰ εἰρημένα ἀκανόνιστα ἐπὶ βλάβῃ οἰκείᾳ, ἀλλὰ καὶ τὸν αὐθέντην Λιτβῶν παρεκίνησας κατεξαναστῆναι κατὰ τοῦ οὕτωπως ὀνομαζομένου κάστρου Ἀλεξίνου καὶ φθεῖραι τοὺς ἐκεῖσε Χριστιανούς, | πρᾶγμα ποιήσας ἀτοπώτατον, εἴπερ γέγονεν οὕτως, ὡς ἀνηνέχθη.

Ἤδη ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, ὁμοῦ μὲν φροντίζουσα τῆς φυλακῆς καὶ συντηρήσεως τῶν θείων καὶ ἱερῶν κανόνων καὶ σπεύδουσα πᾶσι τρόποις τούτους διεκδικεῖν, ὁμοῦ δὲ καθαρώτερον τὰ τοῦ πράγματος γνωρίσαι βουλομένη καὶ εἰρήνην οἰκονομῆσαι καὶ διαπράξασθαι κανονικῶς μέσον ὑμῶν καὶ τοῦ τῆς Ῥωσίας πάσης χριστιανικοῦ γένους, ἐπευδοκήσαντος εἰς τοῦτο τοῦ ἐκ Θεοῦ

12 cf. linn. 48—49 documenti 259 || 14 cf. lin. 87 documenti 259 || 18 cf. lin. 94 documenti 259 || 22 cf. lin. 118 documenti 259 || 25 cf. lin. 117 documenti 259 || 30—32 cf. linn. 97—99 documenti 259 || 39—40 cf. linn. 137—138 documenti 259

auch die Bistümer von Klein-Rußland innehaben soll und der heiligste Metropolit, Herr Alexios, Kiev und alle Bistümer Rußlands so, wie er von Anfang an geweiht wurde, haben soll. Letzterer hält sich nun unverbrüchlich an diese besagte Entscheidung, wie er schriftlich berichtete und wie es aufgrund der Sachlage offensichtlich ist. Deine Heiligkeit aber ist, wie unserer Bescheidenheit oft berichtet wurde, unter Mißachtung der damals ergangenen schriftlichen Synodalpraxis, die auch durch das Votum des Kaisers bestätigt wurde, wie oben bereits erklärt wurde, in Kiev eingedrungen, und Du hast dort als Priester gewirkt, wobei Du auch anderes ausführtest, was einem legitimen Erzpriester zukommt, und (dies) nicht nur dort, sondern auch in Mprianiskon, einem Bistum ebendieses Herrn Alexios, und, kurz gesagt, belästigst Du ihn unentwegt, indem Du alle seine kirchlichen Rechte angreifst, womit Du eine Handlung begehst, die außerhalb der genauen Beachtung der göttlichen und heiligen Kanones steht, deren unverfälschte und unveränderte Einhaltung Du schriftlich versichertest. Aus diesem Grund schrieb unsere Bescheidenheit an Deine Heiligkeit bereits vor einiger Zeit, und zwar einmal und zweimal, daß, wenn dies (tatsächlich) von Dir gewagt wird, Du davon Abstand nehmen und dies nicht mehr tun mögest, da Dir dieses Verhalten Schaden in der Seele bereitet und und Deine Ehre mindert.

Jüngst hat nun unsere Bescheidenheit neuerlich von denen, die von dort kommen, erfahren, daß Du nicht nur die genannten Vergehen gegen die Kanones zum eigenen Schaden begehst, sondern auch den Gebieter von Litauen dazu angestiftet hast, das Kastron, das Alexinon oder ähnlich heißt, anzugreifen und die dortigen Christen zu vernichten, womit Du etwas völlig Abwegiges getan hast, wenn es so gewesen ist, wie berichtet wurde.

Unsere Bescheidenheit und die um sie versammelte göttliche und heilige Synode hat nun, sowohl in Sorge um die Einhaltung und Beachtung der göttlichen und heiligen Kanones und in ihrem Bemühen, diese mit allen Mitteln durchzusetzen, als auch mit dem Wunsch, sich ein klareres Bild von der Angelegenheit zu verschaffen und in kanonischer Weise Frieden zwischen Euch und dem christlichen Volk von ganz Rußland zu stiften, mit der diesbezüg-

23 φυλάσσειν MM | ἀπαρεγχειρήτους] litt. π ex corr. V || 25 μήκέτι V || 28 ὡς seclusimus || 30 ἐκίνησας MM | κατεξαναστῆναι] litt. ῆναι ex σθ corr. V

κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος τῷ προσόντι αὐτῷ ἐνθέῳ ζήλῳ ὑπὲρ τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ διοικήσεων, ἐξέπεμψεν ἐκλεξαμένη ἀποκρισιαρίους τόν τε ἱερώτατον μητροπολίτην Κελτζηνῆς, ὑπέρτιμον, ἀγαπητὸν κατὰ Κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, καὶ τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας καὶ δικαιοφύλακα, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιον διάκονον τὸν Περδίκην, ὥστε ποιήσασθαι τὴν ἐξέτασιν πάντων τῶν λαληθέντων καὶ προσκαλέσασθαι τούς τε θεοφιλεστάτους ἐπισκόπους καὶ τοὺς εὐγενεστάτους ῥῆγας, ἐφῷ παραγενέσθαι ἐπὶ τῇ τοιαύτῃ ἐξετάσει ἀσφαλείας ἕνεκεν. ὀφείλει οὖν παραγενέσθαι καὶ τὴν σὴν ἱερότητα ἀπαραιτήτως, ἐπειδὴ οὕτως ἀνετέθησαν οἱ τοιοῦτοι ἀποκρισιάριοι, ἵνα διαμηνύσωνται πρὸς σὲ τούτου χάριν.

Διατοῦτο καὶ παραδηλοῖ τῇ ἱερότητί σου ἡ μετριότης ἡμῶν, ὡς ἂν πᾶσαν καὶ παντοίαν ἀποσεισάμενος πρόφασιν παραγένῃ διὰ σαυτοῦ πρὸς τὴν γενησομένην σύναξιν παρὰ τῶν τοιούτων ἀποκρισιαρίων καὶ γένηται ἐντεῦθεν ἀπροσπαθῶς, ὡς ἐφορῶντος ἄνωθεν τοῦ Θεοῦ, ἡ τῶν λαληθέντων συνοδικῶς ἐξέτασις, ὅπερ ἔστι καὶ ἐγκάνονον ποιῆσαι σε. εἴπερ δ' ἐπισυμβῇ διά τινα ἐμποδισμὸν σωματικῆς ἀσθενείας καὶ οὐκ ἔχεις εὔκολον διὰ σαυτοῦ παραγενέσθαι, παρακελευόμεθα, ἵνα χωρὶς τῆς τυχούσης προφάσεως ἐκπέμψῃς ἀντὶ σαυτοῦ οἰκείους σου ἀνθρώπους, ὥστε γενέσθαι ἐνώπιον αὐτῶν πᾶσα ἡ τῶν λαληθέντων ἐξέτασις, ὥσπερ ἔμελλε γενήσεσθαι καὶ ἐνώπιον τῆς σῆς ἱερότητος. γινωσκέτω γὰρ ἡ ἱερότης σου, ὡς οὕτως ἐτάχθη καὶ διεκρίθη συνοδικῶς καὶ οὕτω ἀνετέθησαν οἱ τοιοῦτοι ἀποκρισιάριοι, ὡς, εἴπερ οὐ ποιήσῃς ἓν ἐκ τῶν δύο, ἤγουν οὔτε διασαυτοῦ καταλάβῃς οὔτε ἀνθρώπους σου ἐκπέμψῃς, ποιήσασθαι αὐτοὺς δὴ τοὺς ἀποκρισιαρίους ἐνώπιον τῶν μελλόντων συνελθεῖν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν τὴν τοιαύτην ἐξέτασιν, | καὶ ὅσον ἂν εὕρωσιν, τοῦτο ποιήσωσιν ἐγγράφως, πιστωθὲν οἰκειοχείροις ὑπογραφαῖς τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν, καὶ διακομίσωσι τοῦτο πρός τε τὸν ἐκ Θεοῦ

41—47 cf. linn. 140—149 documenti 259 || 48—49 cf. linn. 150—153 documenti 259 || 51 cf. linn. 173—175 documenti 259 || 51—52 cf. linn. 172 documenti 259 || 54—55 cf. linn. 170—172 documenti 259 || 56 cf. linn. 156 usque ad 157 documenti 259 || 60 cf. lin. 155 documenti 259 || 64—68 cf. linn. 170—177 documenti 259 || 69—72 cf. linn. 161—166 documenti 259

58 δ'] δὲ MM || 65 ἤγουν] ὡς MM

lichen Billigung meines aus Gott mächtigsten und heiligen Kaisers aufgrund des ihm eignenden göttlichen Eifers für die Angelegenheiten der Kirche und ihre Verwaltungsbereiche, den heiligsten Metropoliten von Keltzene, Hypertimos, im Herrn geliebten priesterlichen Mitbruder unserer Bescheidenheit, und den ehrwürdigsten Sakelliu unserer heiligsten Großen Kirche Gottes und Dikaiophylax, den im Heiligen Geist geliebten Sohn unserer Bescheidenheit, den Diakon Herrn Georgios Perdikes, als Gesandte auserwählt und entsandt, damit sie die Untersuchung aller vorgebrachten (Anschuldigungen) durchführen und die gottgeliebtesten Bischöfe und die edelsten Fürsten einladen, sich zu dieser Untersuchung um (deren) Sicherung willen einzufinden. Demnach muß auch Deine Heiligkeit unbedingt erscheinen, weil ebendiesen Gesandten in diesem Sinne aufgetragen wurde, Dich deswegen zu benachrichtigen.

Daher fordert unsere Bescheidenheit Deine Heiligkeit auf, daß sie sich jedes wie auch immer gearteten Vorwandes begibt und persönlich bei der von diesen Gesandten abzuhaltenden Versammlung erscheint und die Untersuchung der vor der Synode vorgebrachten (Anschuldigungen) in der Folge unparteiisch, da Gott von oben (darüber) wacht, vonstatten geht, wozu Du auch kanonisch verpflichtet bist. Wenn sich aber ergeben sollte, daß es für Dich aufgrund eines Hindernisses in Form körperlicher Krankheit nicht leicht ist, persönlich zu erscheinen, befehlen wir (Dir), ohne irgendeinen Vorwand an Deiner Stelle Gefolgsleute von Dir zu entsenden, damit vor diesen die gesamte Untersuchung der vorgebrachten (Anschuldigungen) stattfindet, wie sie auch vor Deiner Heiligkeit stattfinden würde. Denn Deine Heiligkeit muß wissen, daß es so von der Synode festgesetzt und beschlossen wurde und diese Gesandten in dem Sinne beauftragt wurden, daß, wenn Du nicht eines von beidem tust, nämlich weder persönlich erscheinst noch Deine (Gefolgs-)leute schickst, ebendiese Gesandten die gegenständliche Untersuchung vor den gottgeliebtesten Bischöfen und edelsten Fürsten, die zusammenkommen werden, durchführen werden und, was immer sie (dabei) feststellen werden, schriftlich festhalten werden, beglaubigt durch die eigenhändigen Unterschriften der gottgeliebtesten Bischöfe und edelsten Fürsten; und diese (Niederschrift) werden sie

κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, ἵν᾽ ἐντεῦθεν ἐπενεχθῇ τελεία ἀπόφασις καὶ ἀφαιρεθῇ πᾶσα πρόφασις ἡ προξενοῦσα κακῶς τὰ σκάνδαλα.

Ἐπεὶ γὰρ τῆς τοῦ Θεοῦ ἐκκλησίας πύλαι ᾅδου οὐκ ἀντισχύσουσι,
223^{v} κατὰ τὸν σωτήριον λόγον, προσήκει ἔχειν καὶ τὴν ἱερότητά σου || τὴν προσήκουσαν στοργὴν καὶ ὑποταγὴν πρὸς αὐτὴν καὶ μὴ κατεξανίστασθαι κατ᾽ αὐτῆς μηδὲ ἀπειλεῖν καὶ ἀντιπίπτειν καὶ ἐναντιοῦσθαι τοῖς δεδογμένοις αὐτῇ, ὅπέρ ἐστι πόρρω τοῦ ἀρχιερατικοῦ σεμνώματος καὶ τῆς χριστιανικῆς πολιτείας. γινωσκέτω γὰρ ἡ ἱερότης σου, ὡς, εἴπερ οὐ ποιήσεις κατὰ τὴν ἐξενηνεγμένην συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν, ἣν ἐπιφέρονται οἱ τοιοῦτοι ἀποκρισιάριοι, ἐπενεχθήσεται τελεία κατὰ σοῦ καταδίκης ἀπόφασις. ἵν᾽ οὖν μὴ τοῦτο γένηται, ποίησον, ὅσον παρακελεύεται πρὸς σὲ συνοδικῶς ἡ μετριότης ἡμῶν.

Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος.

Εἶχε δι᾽ ὑπογραφῆς πατριαρχικῆς καὶ τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ^{ης} †.* ||

73—74 cf. linn. 177—178 documenti 259 || 75 cf. Mt. 16, 18

73 pro κακῶς lacunam indicaverunt MM || 75 ἐπεὶ] ἐπὶ MM || 81 συνοδικὴν] litt. σ ex δ corr. V || 87 post finem documenti reliqua pars f. 223^{v} scriptura caret in V

263

Kallistos I. und die Synode übertragen dem Metropoliten N. von Makre die Verwaltung der Metropolis Ainos.

V 47, f. 224^{r} — μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ^{ης} (Z. 48—49)
Dar. Reg. 2436 — Juli ⟨1361⟩
συνοδικὴ πρᾶξις (Z. 45; vgl. auch Z. 1)

zu meinem aus Gott mächtigsten und heiligen Kaiser, zu unserer Bescheidenheit und zu der um sie versammelten göttlichen und heiligen Synode bringen, damit in der Folge eine endgültige Entscheidung getroffen und jeder Vorwand, der in schlechter Weise die Auseinandersetzungen hervorruft, beseitigt wird.

Denn da die Pforten der Hölle die Kirche Gottes nicht überwältigen werden, gemäß dem heilbringenden Wort, geziemt es auch Deiner Heiligkeit, ihr (= der Kirche) die geziemende Liebe und Unterordnung zu erweisen und sich nicht gegen sie zu erheben noch zu drohen und sich ihren Beschlüssen entgegenzustellen und zu widersetzen, was weit entfernt ist von der Würde eines Erzpriesters und einer christlichen Lebensführung. Denn Deine Heiligkeit soll wissen, daß, wenn Du nicht entsprechend der von der Synode gefällten Entscheidung, die ebendiese Gesandten mit sich führen, handelst, eine endgültige Verurteilung gegen Dich gefällt werden wird. Damit dies aber nicht geschieht, tue, was Dir unsere Bescheidenheit mit der Synode befiehlt.

Die Gnade Gottes sei mit Deiner Heiligkeit.

(Das Original) hatte durch die Unterschrift des Patriarchen auch (das Menologem): „Im Monat Juli der 14. Indiktion".

263

Überschrift (1). *Verbindliche Sorge des Patriarchen um Metropoliten, die ihre Kirchen verloren haben* (2—18). *Übertragung der Metropolis Ainos an den Metropoliten von Makre* (19—32). *Rechte des Metropoliten von Makre in der Metropolis Ainos* (33—38). *Verpflichtungen des dortigen Kirchenvolkes ihm gegenüber* (38—44). *Ausstellungsvermerk* (45—47). *Datierung* (48—49).

224r † Πρᾶξις συνοδική †

† Τοῖς καθολικοῖς δὲ ἄρα προστάταις τῆς ἐκκλησίας καὶ θεόθεν τοὺς ταύτης οἴακας ἰθύνειν προβεβλημένοις καὶ τοῦτ᾽ ἔργον ἂν εἴη προσῆκον ἅμα καὶ ὀφειλόμενον, τὰ δέοντα χορηγεῖν ἀρχιερεῦσιν ἐκ τῆς τῶν πραγμάτων συγχύσεως καὶ τῆς τῶν ἐχθρῶν ἐπιθέσεως τὰς λαχούσας ἀποβαλοῦσι καὶ τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων μὴ εὐποροῦσι, δυναμένοις δ᾽ οὐχ ἥκιστα, οἷς ἂν ἐντυγχάνειν ξυμπέσοι καὶ ὁμιλεῖν, τοῦ παρ᾽ ἑαυτῆς μεταδιδόναι καλοῦ καὶ ἔργοις ὁμοῦ τε καὶ λόγοις πρὸς τὴν ἴσην αὐτοὺς διανιστᾶν μίμησιν καὶ πολιτείας θεοφιλοῦς ἔχεσθαι πείθειν. ὡς προστάταις γὰρ αὐτοῖς βουλομένοις προμήθειαν κατὰ τὸ ἐγχωροῦν ὑπὲρ τῶν ἀπορούντων ἐνδείκνυσθαι ἀδελφῶν ἔνεστι καὶ πόρους ἐξευρίσκειν καὶ θεραπεύειν τὰς ἐκ τοῦ καιροῦ δυσχερείας τούτοις ἐπεχομένας. οὕτω δ᾽ ἔχοντες γνώμης καὶ φιλαλλήλως καὶ ἀδελφικῶς αὐτῶν προνοούμενοι προθυμοτέρους ἕξουσι τῶν πνευματικῶν ἀγώνων αὐτοῖς συνεφάπτεσθαι καὶ πρὸς μόνον τὸ σπουδαζόμενον βλέπειν παρασκευάσουσι καὶ ἀληθῶς τούτων ὑπεραλγεῖν δόξουσι βοήθειαν τῇ ἀπορίᾳ τὸν δυνατὸν τρόπον ἐπινοοῦντες.

Ἐπεὶ τοίνυν καὶ ὁ ἱερώτατος μητροπολίτης Μάκρης, ὑπέρτιμος, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀπέβαλε τρόπον, ὃν εἴρηται, τὴν ἐκκλησίαν αὐτοῦ κἀντεῦθεν οὐκ εὐπόρως ἔστιν ἔχων τῶν εἰς χρείαν ἡκόντων, ἱκανὸς δὲ ἅμα καὶ πρόθυμος φαίνεται τῇ προσούσῃ τούτῳ ἀρετῇ καὶ πνευματικῇ σπουδῇ περὶ τὰ καλὰ ψυχὰς προσάγειν καὶ οἰκειοῦν τῷ Θεῷ, δίκαιος ἐκρίθη καὶ τῆς ἀναλογούσης ἀξιωθῆναι προμηθείας καὶ κυβερνήσεως. μέντοι καὶ κοινῇ ψήφῳ τῆς θείας τῶν ἱερωτάτων ἀρχιερέων ὁμηγύρεως, ὑπερτίμων, ἀγαπητῶν κατὰ Κύριον ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, ἡ ἁγιωτάτη μητρόπολις Αἴνου κατὰ λόγον ἐπιδόσεως δέδοται πρὸς αὐτόν, ὡς ἂν αὐτὸς μὲν ἐκεῖθεν τυγχάνοι τῶν, ὧν ἐν χρείᾳ καθέστηκεν, ὁ δὲ κατ᾽ ἐκείνην

1 titulus in marg. superiore dextra f. 224r (ab alia manu?) scriptus || 2 καθολικοῖς] καθο^{λ} V || 7 ξυνπέσοι V || 16 παρασκευάσουσι] litt. σ^{2} ex ζ corr. V

Synodalpraxis

Für die allgemeinen Vorsteher der Kirche, die von Gott auserwählt wurden, deren Steuerruder zu lenken, ist wohl auch dies eine gebührende und zugleich auch verpflichtende Aufgabe, diejenigen Erzpriester, die aufgrund der politischen Wirrnisse und des Angriffes der Feinde die (ihnen) zuerkannten (Kirchen) verloren haben und über das Lebensnotwendige nicht verfügen, mit dem Notwendigen auszustatten, zumal sie (= die Vorsteher) besonders an diejenigen, mit denen sie gerade zusammentreffen und Umgang haben, das von ihr (= der Kirche) stammende Gute weitergeben und sie gleicherweise durch Taten und Worte zur entsprechenden Nachahmung anregen sowie zu einer frommen Lebensführung bewegen können. Denn als Vorsteher, die gewillt sind, im Rahmen des Möglichen Fürsorge für die Brüder in Not an den Tag zu legen, haben sie selbst die Möglichkeit, Mittel aufzutreiben und die Schwierigkeiten, die diesen (= den Brüdern) aufgrund der Verhältnisse anhaften, zu heilen. Wenn sie (= die Vorsteher) sich an diese Denkweise halten und in brüderlicher Nächstenliebe für diese (= die Erzpriester) sorgen, werden sie (= die Vorsteher) in diesen bereitwilligere geistliche Mitkämpfer haben und diese dazu bringen, allein auf das angestrebte (Ziel) zu blicken, und, indem sie gegen die Not, soweit dies möglich ist, Hilfe ersinnen, werden sie als wahrlich Mitleidende dieser scheinen.

Da nun auch der heiligste Metropolit von Makre, Hypertimos, im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, auf die genannte Weise seine Kirche verloren hat und daher nicht über das für seine Bedürfnisse Notwendige verfügt und andererseits durch die ihm eignende Tugend und den geistlichen Eifer um das Gute fähig und zugleich bereit scheint, Seelen Gott zuzuführen und ihm zu eigen zu machen, wurde für recht befunden, ihn auch der angemessenen Fürsorge und Lebensführung zu würdigen. (Also) wurde ihm mit dem gemeinsamen Votum der heiligen Versammlung der heiligsten Erzpriester, der Hypertimoi und im Herrn geliebten priesterlichen Mitbrüder unserer Bescheidenheit, die heiligste Metropolis Ainos als Epidosis gegeben, damit er von dort erhält,

|| 21 post συλλειτουργός voces τῆς ἡ canc. V || 26 τῶν ex τῆς corr. V

χριστώνυμος τοῦ Κυρίου λαὸς διὰ τῆς τούτου διδασκαλίας προάγοιτο καὶ προβαίνοι.

Καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης καὶ ὑπέρτιμος τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν Αἴνου καὶ τὰ ὑπ' αὐτὴν πάντα καὶ ἐπαδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα καὶ γνήσιος ἀρχιερεύς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως Αἴνου καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες, ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα, δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ ὑπείκειν τούτῳ καὶ πειθαρχεῖν ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν.

Τούτου γὰρ χάριν ἀπολυθεῖσα καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Μάκρης, ὑπερτίμῳ καὶ προέδρῳ Αἴνου, εἰς ἀσφάλειαν ἐπιδέδοται.

Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· *μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ^{ης} †.* ||

41 ὑπείκειν] litt. εικ ex corr. V || 47 προέδρου V || 48 an ἰουνίῳ legendum (sed cf. nomen mensis in calce documentis praecedentis)? | post finem huius documenti dimidia fere pars f. 224r scriptura caret in V

264

Kallistos I. antwortet auf eine schriftliche Eingabe zweier bulgarischer Mönche betreffend die Stellung des Patriarchen von Bulgarien und den Taufritus.

V 47, f. 224v—226r ⟨zwischen 1360 und 1362⟩
Athous Dion. 263, f. 119v—124v (D)[1] (vgl. [ἐγγράφως] πληροφορίαν

[1] Theologische Sammelhandschrift des 17. Jahrhunderts (vgl. die Beschreibung bei Sp. P. Lampros, Catalogue of the Greek Manuscripts on Mount Athos I. Cambridge 1895, 387—389); auf die Existenz dieser von V unabhängigen Textbezeugung hat bereits Dar. Reg. 2442 („Texte") hingewiesen.

was er benötigt, und das dortige Christenvolk des Herrn durch seine Belehrung gefördert wird und voranschreitet.

Es wird also dieser heiligste Metropolit und Hypertimos die gegenständliche heiligste Metropolis Ainos und alles, was ihr untersteht, innehaben. Es wird ihm erlaubt sein, in ihr als Priester zu wirken, Diakone und Presbyter zu befördern und einfach an allem zu ihr Gehörigen als ihr legitimer Erzpriester teilzuhaben, freilich mit Ausnahme der Einsetzung in das heilige Synthronon. Daher sollen ihn auch die Kleriker der erwähnten heiligsten Metropolis Ainos und die Angehörigen ihres Sprengels, (das heißt) Priester, Mönche und das übrige Christenvolk, aufnehmen, ihm jeglichen Respekt und jede Ehre bezeugen und sich ihm als ihrem Erzpriester, Vater und geistlichen Lehrer in allen zu ihrem Seelenheil beitragenden Belangen, in denen sie von ihm unterwiesen werden, fügen und ihm gehorchen.

Aus diesem Grund nämlich wurde auch die vorliegende Synodalpraxis expediert und dem erwähnten heiligsten Metropoliten von Makre, Hypertimos und Proedros von Ainos, zur Sicherung ausgehändigt.

(Das Original) hatte auch (die Unterschrift) von der ehrwürdigen Hand des Patriarchen: „Im Monat Juli der 14. Indiktion".

264

Überschrift (1—6). *Vokativische Anrede der Empfänger* (7—9). *Wünsche für das Wohlbefinden der Empfänger* (9—10). *Erhalt einer Eingabe der Adressaten* (11—14). *Seinerzeitige Verleihung des Patriarchentitels an den Bischof von Tărnovo* (15—33). *Einschärfung des Kanon 28 des Konzils von Chalkedon* (34—44) *und des Kanon 36 des Trullanum* (45—53). *Verpflichtung des Patriarchen von Tărnovo zur liturgischen Erwähnung des ökumenischen Patriarchen und der Patriarchen von Alexandreia, Antiocheia und Jerusalem* (54—66). *Verstoß gegen diese Verpflichtung und gegen das ursprüngliche Abkommen der bulgarischen Kirche mit Patriarch Germanos II.* (67—83). *Oberhoheit*

MM I 436—442 (Nr. 186)
PG 152, 1382—1388
Dar. Reg. 2442 (vgl. Nr. 2384)

[... συνοδικῶς] [Z. 168]; vgl. auch παρακελεύεται [Z. 191] bzw. νουθεσία καὶ διδασκαλία [Z. 198—199])

Erwähnte Urkunden und Gesetze:

a) schriftliche Eingabe zweier Mönche des Patriarchats Bulgarien an den Patriarchen ⟨Kallistos I.⟩ von Konstantinopel (ἔγγραφος ἀναφορά: Z. 11; ἀναφορά: Z. 164)
b) Tomos des Patriarchen Germanos ⟨II. von Konstantinopel⟩: Erlaubnis an den ⟨Erz⟩bischof von Tărnovo, sich Patriarch von Bulgarien zu nennen, ⟨etwa Frühjahr 1235; Laur. Reg. 1282⟩ (τόμος: Z. 72 [τῶν ... συμφωνιῶν τῶν ἀποταχθεισῶν διὰ τοῦ τόμου]; vgl. auch ἐδωρήθη συγκαταβάσεως λόγῳ πρὸς τὸν Τρινόβου τὸ ὀνομάζεσθαι πατριάρχην Βουλγαρίας [Z. 29—30]; ἐτομογράφησεν [Z. 77]; ἡ ὑπόσχεσις καὶ ἡ σμφωνία τῆς τῶν Βουλγάρων ἐκκλησίας πρὸς τὴν Κωνσταντινούπολιν [Z. 82—83; vom Tomos zu unterscheidende Annahmeurkunde durch die bulgarische Kirche?])
c) Kanon ⟨Nr. 28⟩ des Konzils von Chalkedon (Joannou I/1, 90, 18—92, 5) (ὁ θεῖος καὶ ἱερὸς κανὼν τῆς δ^{ης} συνόδου: Z. 32—33) (vgl. Testimonienapparat zu Z. 34—44)
d) Kanon ⟨Nr. 36⟩ des Trullanum (Joannou I/1, 170, 3—19) (ὁ τῆς ἕκτης συνόδου κανών: Z. 45) (vgl. Testimonienapparat zu Z. 46—53)
e) ⟨Lehrbrief (?) (in der Art des Schreibens an Demetrios Chomatianos [vgl. G. Prinzing, Die *Antigraphie* des Patriarchen Germanos II. an den Erzbischof Demetrios von Ohrid und die Korrespondenz zum nikänisch-epirotischen Konflikt 1212—1233. *Rivista di Studi bizantini e slavi* 3 (1983) 21—64])⟩ des Patriarchen Germanos ⟨II.⟩ von Konstantinopel in der Frage der Verleihung des Patriarchentitels an den Erzbischof von Tărnovo, ⟨nach Frühjahr 1235; Laur. Reg. 1285⟩ (vgl. φησὶ γὰρ ὁ αὐτὸς πατριάρχης ἔν τινι τῶν ἑαυτοῦ συγγραμμάτων ἀπολογούμενος [Z. 73—74]; Laurent will dieses σύγγραμμα mit dem Tomos [= Nr. b] gleichsetzen, was deswegen auszuschließen ist, weil das σύγγραμμα mit dem Verbum ἐτομογράφησεν [Z. 77] auf den Tomos selbst verweist; das wörtliche Zitat aus dem σύγγραμμα Germanos' II. reicht übrigens nur bis Z. 81 [ἐξελεγχθῇ], nicht bis Z. 102 [Τρινόβου])
f) Kanon ⟨Nr. 50⟩ der Apostel* (Metzger III 290, 202—292, 208) (vgl. ἡ γὰρ διάταξις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ οἱ ἱεροὶ τούτων κανόνες [Z. 105—106] bzw. κατὰ τὴν τῶν θείων ἀποστόλων καὶ ἱερῶν κανόνων παράδοσιν [Z. 179]) (vgl. Testimonienapparat zu Z. 106—108).

des Patriarchen von Konstantinopel (84—89). *Aus Rücksicht auf den Zaren der Bulgaren Verzicht des Patriarchen von Konstantinopel auf Ahndung des Verhaltens des Patriarchen von Tărnovo* (90—102). *Erklärung des kanonisch richtigen Taufritus und seiner Symbolik* (103 bis 137). *Verwendung des Myron* (138—154). *Warnung der gegen den richtigen Taufritus Verstoßenden vor dem Jüngsten Gericht* (155 bis 163). *Aufforderung an die Adressaten, die erteilten Auskünfte und Belehrungen betreffend den Taufritus an die bulgarischen Erzpriester und Priester weiterzugeben* (164—182). *Aufforderung bezüglich der Beschaffung des heiligen Myron* (183—190). *Aussicht auf Vergebung, wenn die unkanonischen Handlungen jetzt aufgegeben werden* (191 bis 197). *Konsequenzen des Beharrens auf den bisherigen Verstößen* (197—207). *Abschließender Wunsch um eine gütliche Beilegung der Differenzen* (208—215).

224r † Παραίνεσις, διδασκαλία καὶ ἀπολογία τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, κῦρ Καλλίστου, καὶ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου περὶ τοῦ ἁγίου βαπτίσματος, γενομένη πρὸς τοὺς ἐν τῷ τόπῳ τοῦ Τρινόβου εὑρισκομένους τιμιωτάτους μοναχοὺς καὶ λοιποὺς ἱερεῖς †

† Τιμιώτατε ἐν ἱερομονάχοις κῦρ ⟨± 6⟩ καὶ σύ, τιμιώτατε ἐν μοναχοῖς, κῦρ ⟨± 6⟩, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος· χάριν, εἰρήνην, ἔλεον καὶ πᾶν ἄλλο εἴ τι ἀγαθὸν καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ Θεοῦ παντοκράτορος.

Ἡ ὑμετέρα ἔγγραφος ἀναφορὰ διεκομίσθη καὶ ὑπανεγνώσθη συνοδικῶς τῇ ἡμῶν μετριότητι, παρόντων πάντων τῶν ἐπιδημούντων ἱερωτάτων ἀρχιερέων τῇ βασιλευούσῃ τῶν πόλεων, καὶ ἐγνώρισεν ἡ μετριότης | ἡμῶν ἐξ αὐτῆς, ὅσα καὶ περὶ ὧν ἐδηλοῦτε.

Καὶ περὶ μὲν τοῦ πατριάρχου Τρινόβου, ὅπως οὐ μέμνηται ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ ποιεῖται ἀναφορὰν τοῦ ὀνόματος τῆς ἡμῶν μετριότητος καὶ τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν καὶ οὐδὲ ἡ μετριότης ἡμῶν μέμνηται τοῦ ὀνόματος τούτου κατὰ τὸν ὅμοιον τρόπον, εἰδέναι βουλόμεθα τὴν ὑμετέραν εὐλάβειαν, ὅτι τὸ παρὰ μὲν τῆς ἡμῶν μετριότητος γινόμενον εἰς τοῦτον ἔχει τὸν προσήκοντα καὶ δίκαιον λόγον, τὸ δὲ τελούμενον παρ' αὐτοῦ, ἤγουν τὸ μὴ μεμνῆσθαι τῆς ἡμῶν μετριότητος ἐν ταῖς ἱεραῖς, ὡς εἴρηται, τελεταῖς, ἔστι πάμπαν παραλογώτατόν τε καὶ ἀδικώτατον δι' αἰτίαν τοιαύτην· ὁ πατριάρχης Τρινόβου ἦν ἄνωθεν καὶ ἐξαρχῆς ἐπισκόπου ὄνομα φέρων, ὑποτασσόμενος τῇ ἁγίᾳ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ, εἶθ' ὕστερον παρακλήσεως γεγονυίας πολλῆς καὶ δεήσεως εἰς τὴν καθ' ἡμᾶς ταύτην μεγάλην καὶ ἱερὰν σύνοδον παρὰ τοῦ τότε τὰ τῆς βασιλείας τῶν Βουλγάρων διϑύνοντος σκῆπτρα διὰ τιμὴν ἐκείνου καὶ τοῦ τοιούτου ἔθνους, ὑποτεταγμένου φανέντος τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ, ἐδωρήθη συγκαταβάσεως λόγῳ πρὸς τὸν Τρινόβου τὸ ὀνομάζεσθαι πατριάρχην Βουλγαρίας, οὐ μέντοι εἶναι καὶ συναρίθμιον τοῖς λοιποῖς ἁγιωτάτοις πατριάρχαις καὶ διατοῦτο μηδὲ

---

1 ante διδασκαλία vocem καὶ add. D || 4 ἁγίου] litt. υ ex ς corr. V || 7 et 8 post κῦρ spatium ca. 6 litt. (nominibus monachorum destinatum) habet V || 7 usque ad 8 τιμιώτατε[1]—ἐν ἁγίῳ πνεύματι] τιμιώτατοι ἱερεῖς καὶ μοναχοί, ἐν ἁγίῳ πνεύματι D || 9 ἄλλον D || 14 αὐτῆς] αὐτῶν D || 21 τὸ] scripsimus cum MM; τοῦ V, D | μετριότητος] litt. τ[2] ex corr. V || 28 καθ' ἡμᾶς] καθολικῇ D

Ermahnung, Belehrung und Rechtfertigung des heiligsten ökumenischen Patriarchen, Herrn Kallistos, und der um ihn versammelten göttlichen und heiligen Synode bezüglich der heiligen Taufe, ergangen an die ehrwürdigsten Mönche und übrigen Priester am Ort des (Patriarchen) von Tărnovo

Ehrwürdigster Priestermönch, Herr ..., und Du, ehrwürdigster Mönch, Herr ..., im heiligen Geist geliebte Söhne unserer Bescheidenheit! Gnade, Frieden, Erbarmen und alles weitere Gute und Heilbringende erbetet für Euch unsere Bescheidenheit von Gott, dem Allherrscher.

Eure schriftliche Eingabe wurde uns überbracht und vor unserer Bescheidenheit und der Synode verlesen in Anwesenheit von allen heiligsten Erzpriestern, die sich in der Königin der Städte aufhielten. Unsere Bescheidenheit erfuhr daraus den Umfang und den Inhalt Eurer Mitteilung.

Was nun den einen Punkt betrifft, der den Patriarchen von Tărnovo angeht, daß dieser bei den heiligen Feiern des Namens unserer Bescheidenheit und der anderen heiligsten Patriarchen nicht gedenkt und ihn nicht erwähnt und daß auch unsere Bescheidenheit auf ähnliche Art seines Namens nicht gedenkt, wollen wir Eurer Frömmigkeit zur Kenntnis bringen, daß das Verhalten unserer Bescheidenheit ihm (= dem Patriarchen von Tărnovo) gegenüber einen geziemenden und gerechten Grund hat, daß aber das, was er tut, nämlich unserer Bescheidenheit bei den heiligen Feiern, wie gesagt, nicht zu gedenken, völlig widersinnig und ungerecht ist, und zwar aus folgendem Grund: Der Patriarch von Tărnovo trug ursprünglich und von jeher den Namen eines Bischofs und unterstand der heiligen Großen Kirche Gottes. Als dann später inständige Bitten und Ersuchen an diese unsere große und heilige Synode von seiten des damals das Szepter des Zarentums der Bulgaren Innehabenden herangetragen wurden, wurde, um jenen und dieses Volk, da es sich unserer heiligsten Großen Kirche Gottes untergeordnet erwies, zu ehren, als Zugeständnis dem (Bischof) von Tărnovo (das Privileg) geschenkt, sich Patriarch von Bulgarien zu nennen, nicht aber auch zu den übrigen heiligsten Patriarchen zu zählen und daher auch nicht in den heiligen Diptychen erwähnt zu

μνημονεύεσθαι ἐν τοῖς ἱεροῖς διπτύχοις κατὰ τὸν θεῖον καὶ ἱερὸν κανόνα τῆς δης΄ συνόδου λέγοντα ἐπὶ λέξεως οὕτω·

«Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ρν΄ θεοφιλεστάτων ἐπισκόπων γνωρίζοντες τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομεν καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως Νέας Ῥώμης. καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα, καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ρν΄ θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ᾽ ἐκείνην ὑπάρχουσαν».

Ὁμοίως καὶ κατὰ τὸν τῆς ἕκτης συνόδου κανόνα διαγορεύοντα διαρρήδην ἐπὶ λέξεως οὑτωσίν· «ἀνανεούμενοι τὰ παρὰ τῶν ρν΄ ἁγίων πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων καὶ τῶν χλ΄ τῶν ἐν Χαλκηδόνι | συνελθόντων νομοθετηθέντα ὁρίζομεν, ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον ‹τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ᾽ ἐκεῖνον ὑπάρχοντα›, μεθ᾽ ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως».

Ἐπειδὴ πέντε πατριάρχαι ἐτάχθησαν τὸ καταρχὰς παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας Χριστοῦ, μέχρις ἂν συνῆν ἡμῖν καὶ ὁ πάππας Ῥώμης, ἔκτοτε δὲ μέχρι τοῦ νῦν εἰσὶν ἡνωμένοι οἱ τέσσαρες, οἵτινες κοινωνίαν ἔχοντες ἀδιάσπαστον μνημονεύονται παρ᾽ ἀλλήλων ἐν ταῖς ἐκκλησιαστικαῖς πάσαις συνάξεσιν, ἔδει γοῦν τὸν Τρινόβου πατριάρχην, ἅμα μὲν δι᾽ ἣν ὤφειλεν ἔχειν ὑποταγὴν εἰς τὴν καθ᾽ ἡμᾶς ἁγιωτά-

34—44 Conc. Chalc., Can. 28 (I/1, 90, 18—92, 5 Joannou; inter ἐπισκόπων et γνωρίζοντες appositionem pertinentem ad ἐπισκόπων [sicut plurimi codices praebentes textum canonum conciliorum] om. V) || 46—53 Conc. Trull., Can. 36 (I/1, 170, 3—19 Joannou; Καλχηδόνι συναθροισθέντων pro Χαλκηδόνι συνελθόντων, τῆς Ἀντιοχέων μεγαλοπόλεως pro τῆς Ἀντιοχείας) || 49—51 Con. Chalc., Can. 28 (cf. testimonia ad linn. 34—44)

werden gemäß dem göttlichen und heiligen Kanon des vierten (ökumenischen) Konzils, welcher wortwörtlich folgendermaßen lautet:

„Da wir in allem den Definitionen der heiligen Väter folgen und den soeben verlesenen Kanon der 150 gottgeliebtesten Bischöfe zur Kenntnis nehmen, legen auch wir dasselbe in bezug auf den Vorrang der heiligsten Kirche von Konstantinopel, dem Neuen Rom, mit einem Beschluß fest. Denn dem Thron des älteren Rom gaben die Väter in geziemender Weise den Vorrang, weil jene Stadt die Herrschaft innehatte, und von derselben Absicht bewogen sprachen die 150 gottgeliebtesten Bischöfe denselben Vorrang dem heiligsten Thron des Neuen Rom zu, da sie zu Recht befanden, daß die Stadt, die durch Kaisertum und Senat geehrt ist und dieselben Vorrechte wie die ältere Kaiserstadt Rom genießt, auch in den kirchlichen Angelegenheiten wie jene erhöht werden soll, da sie die zweite nach jener ist".

Ebenso gemäß dem Kanon des sechsten (ökumenischen) Konzils, der folgendes ausdrücklich wortwörtlich vorschreibt: „In Erneuerung der gesetzlichen Bestimmungen der 150 heiligen Väter, die in dieser gottbehüteten Königin der Städte zusammenkamen, und der 630 (Väter), die in Chalkedon zusammenkamen, legen wir fest, daß der Thron von Konstantinopel ‚dieselben Vorrechte wie jener des Alten Rom genießen und auch in den kirchlichen Angelegenheiten wie jener erhöht werden soll, da er der zweite nach jenem ist', und daß nach diesem (= dem Thron von Konstantinopel) der Thron der großen Stadt der Alexandriner, danach der von Antiocheia und nach diesem der der Stadt der Jerusalemiter gereiht sein soll".

Da ursprünglich fünf Patriarchen von der katholischen und apostolischen Kirche Christi festgesetzt waren, (das heißt) solange auch der Papst von Rom mit uns (verbunden) war, seither und bis jetzt aber die vier miteinander vereint sind, die aufgrund ihrer untrennbaren Gemeinschaft einander bei allen kirchlichen Versammlungen gedenken, hätte demnach der Patriarch von Tărnovo, einerseits wegen der Verpflichtung zur Unterordnung unter unsere

33 οὕτω] litt. ω ex ως corr. V || 34 ἁγίων] ἄλλων D || 41 βασιλείᾳ] βασιλείαν D || 46 ἀνανεούμενοι] ἀνανεόμενοι D || 56 ἑνωμένοι V, D; ἡνωμένοι scripsimus cum MM | post ἑνωμένοι vocem ὄντες add. D || 57 ἀδιασπάστως MM

την τοῦ Θεοῦ Μεγάλην Ἐκκλησίαν, παρ' ἧς εἴληφε καὶ τὸ εἶναι καὶ ὀνομάζεσθαι πατριάρχης, ἅμα δὲ καὶ διὰ τὸ περιποιεῖσθαι ἑαυτῷ τιμὴν καὶ κοινωνίαν τῆς ἡμῶν μετριότητος καὶ τῶν ἄλλων πατριαρχῶν, ἀνάγκην ἔχειν ἀναφέρειν ἀεὶ τήν τε ἡμῶν μετριότητα καὶ τοὺς ἄλλους πατριάρχας ἐν τοῖς ἱεροῖς διπτύχοις καὶ οὕτως ἀποσώζειν καὶ αὐτὸν ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ τὸν τύπον τῆς ἐκκλησιαστικῆς καταστάσεως κἀντεῦθεν φαίνεσθαι ἡνωμένος καὶ συναρίθμιος ἡμῖν.

Οὗτος δὲ ἀθετῶν οὐ καλῶς τὸν τοιοῦτον ἐκκλησιαστικὸν θεσμὸν καὶ ἀποσκιρτῶν τῆς ὑποταγῆς τῆς ἡμῶν μετριότητος καὶ τῆς καθολικῆς ἐκκλησίας Θεοῦ, ἐξ ἧς, ὡς διείληπται, τὸ εἶναι πατριάρχης κατὰ συγκατάβασιν ἔχει, οὐδεμίαν ποιεῖται μνήμην τῆς ἡμῶν μετριότητος, πρᾶγμα ποιῶν ἀτοπώτατον καὶ ἔξω τῶν ἐξαρχῆς συμφωνιῶν τῶν ἀποταχθεισῶν διὰ τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Γερμανοῦ. φησὶ γὰρ ὁ αὐτὸς πατριάρχης ἔν τινι τῶν ἑαυτοῦ συγγραμμάτων ἀπολο-
225r γούμενος περὶ τούτων· «τὸ δὲ || ἡμέτερον οὐχ οὕτως ἔχει, οὐχ οὕτως, ἀλλὰ κοσμικὴν τὴν κοινωφέλειαν ἐπαγγελόμενον· τῷ τετιμημένῳ τοῦ τῶν Βουλγάρων ἔθνους ἀρχιερεῖ τὸ αὐτοκέφαλον εἶναι ὁλόκληρον οὐκ ἐτομογράφησεν, ἀλλὰ δασμοφορήσει πάλιν, τουτέστι δώσει τέλη καὶ φόρους τῷ τιμήσαντι πατριάρχῃ καὶ τὴν τοῦ ὀνόματος αὐτοῦ ἐπ' ἐκκλησίας ἀναφορὰν ὡς συνεισφορὰν ὡς εἷς τῶν ὑπὸ τὴν Κωνσταντινούπολιν μητροπολιτῶν καὶ εἰς λογιστεύσεις καὶ εὐθύνας, τουτέστι κρίσεις, ἀχθήσεται, ἐπὰν ποτέ τις παρατραπεὶς τῆς δασμοφορίας ἐξελεγχθῇ». οὕτω μὲν ἡ ὑπόσχεσις καὶ ἡ συμφωνία τῆς τῶν Βουλγάρων ἐκκλησίας πρὸς τὴν Κωνσταντινούπολιν.

Καὶ χωρὶς δὲ τούτου, εἰ | ὁ τῆς Κωνσταντινουπόλεως θρόνος καὶ τὰς τῶν ἄλλων πατριαρχῶν κρίσεις, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ ἐπανακρίνει καὶ διευθετεῖ καὶ ἐπιψηφίζεται ταύταις καὶ τὸ κῦρος δίδωσιν, ὡς οἱ θεῖοι κανόνες διαγορεύουσι καὶ αἱ πράξεις ἐπεμαρ-

74—81 opus laudatum Germani patriarchae non extat

heiligste Große Kirche Gottes, von der er sowohl den Status als auch den Namen eines Patriarchen erhalten hatte, und andererseits, um sich selbst die ehrende Gemeinschaft mit unserer Bescheidenheit und den anderen Patriarchen zu verschaffen, stets sowohl unsere Bescheidenheit als auch die übrigen Patriarchen in den heiligen Diptycha erwähnen müssen; auch er hätte so in seiner Kirche die Norm der kirchlichen Ordnung wahren und sich daher mit uns vereint und in unsere Zahl aufgenommen zeigen sollen.

Dieser (= der Patriarch von Trnovo) verstößt also in schlechter Weise gegen diese kirchliche Satzung und entweicht der Unterordnung unter unsere Bescheidenheit und die katholische Kirche Gottes, der er, wie dargelegt wurde, den Status eines Patriarchen als Zugeständnis verdankt, indem er unserer Bescheidenheit in keiner Weise gedenkt und so etwas völlig Abwegiges tut, das gegen die durch den Tomos des heiligsten Patriarchen, Herrn Germanos, ursprünglich festgesetzten Vereinbarungen verstößt. Denn ebendieser Patriarch sagt in einer seiner Schriften, in der er sich dazu rechtfertigt: „Dies ist nicht unser Standpunkt, keinesfalls, sondern (dieser Standpunkt) verhieß (nur) das weltliche Gemeinwohl; dem geehrten Erzpriester des Volkes der Bulgaren schrieb (unsere Bescheidenheit) nicht die vollständige Autokephalie in einem Tomos fest, sondern er wird weiterhin Tribut, das heißt Abgaben und Steuern, dem Patriarchen entrichten, der (ihn) geehrt hat, und die kirchliche Erwähnung seines Namens als Beitrag darbieten, wie einer der Konstantinopel unterstehenden Metropoliten, und wird zur Rechenschaftsablegung und Verantwortung, das heißt vor Gericht, geführt werden, wenn je einer (der zukünftigen bulgarischen Erzpriester) überführt wird, daß er sich der Tributleistung entzieht". So lautet das Versprechen und die Vereinbarung der Kirche der Bulgaren mit Konstantinopel.

Aber auch unabhängig davon: Wenn der Thron von Konstantinopel auch die Entscheidungen der übrigen Patriarchen von Alexandreia, Antiocheia und Jerusalem noch einmal überprüft und berichtigt und sie sanktioniert und ihnen Rechtskraft verleiht, wie die göttlichen Kanones bestimmen und die Praxeis bezeugt haben,

61 τὸ ὀνομάζεσθαι MM || 72 τόμου] τόπου D | κῦρ] κυροῦ D || 77 δεσμοφορήσει D, MM || 81 δεσμοφορίας V, D, MM || 84 δὲ] δὴ MM || 86 διευθετεῖ scripsimus cum MM et D; διευθετῇ V | ταύταις om. MM || 87—88 ἐπεμμαρτύρησαν V

τύρησαν, πῶς οὐ πολλῷ μᾶλλον τῆς τῶν Βουλγάρων ἐκκλησίας ὁ θρόνος οὗτος κύριος ἔσται, παρ᾿ οὗ καὶ τὸ ὀνομάζεσθαι πατριάρχης τετίμηται;

Ἀλλὰ γινώσκετε σαφῶς, ὅτι, εἴπερ οὐκ ἦν ἡ πρὸς τὸν ὑψηλότατον βασιλέα τῶν Βουλγάρων, ἐν ἁγίῳ πνεύματι γνησιώτατον υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννην τὸν Ἀσάνην, εἰλικρινὴς σχέσις καὶ διάθεσις αὐτῆς καὶ τὸ μὴ λυπηθῆναι τοῦτον διὰ τὴν τοιαύτην αἰτίαν, εἶχεν ἀπὸ δικαίου ἡ μετριότης ἡμῶν ὡς οἰκουμενικὸς πατριάρχης, διὰ τῆς τοῦ Χριστοῦ χάριτος, ἀνακρῖναι τὰ κατ᾿ αὐτὸν καὶ ἐξετάσαι ταῦτα εἰς τὴν καθ᾿ ἡμᾶς ἱερὰν καὶ μεγάλην σύνοδον, ὡς μέχρι τοῦ νῦν μὴ γινωσκόμενα, καὶ ἢ λαβεῖν τοῦτον διόρθωσιν ἢ κανονικῶς εὐθῦναι ὡς ἀθετοῦντα τὴν ἐκκλησίαν προδήλως, ἐξ ἧς, ὡς πολλάκις εἴρηται, τὸ εἶναι πατριάρχης κεκλήρωται, ἢ τό γε δεύτερον ἀποστερῆσαι τοῦτον τοῦ τοιούτου ὀνόματος· ἡ δὲ τοῦ τοιούτου βασιλέως ἀγάπη καὶ διάθεσις πείθει ἐᾶν ἀπολυπραγμόνητα ταῦτα, μέχρις ἂν διόρθωσιν λάβοιεν παρὰ τοῦ αὐτοῦ πατριάρχου Τρινόβου. καὶ ταῦτα μὲν περὶ τοῦ ἑνὸς κεφαλαίου.

Τὸ δὲ δὴ βαπτίζειν τοὺς ἱερεῖς τῶν Βουλγάρων εἰς μίαν κατάδυσιν καὶ περιρραντίζειν αὐτούς, ὡς ἔτυχεν, ὕδατι ἔστι πρᾶγμα ἀτοπώτατον καὶ δυσσεβείας ἀνάμεστον. ἡ γὰρ διάταξις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ οἱ ἱεροὶ τούτων κανόνες πάντας τοὺς βαπτιζομένους εἰς μίαν κατάδυσιν ὡς μὴ βαπτισθέντας κατὰ τὴν τοῦ σωτῆρος παράδοσιν ἀναβαπτίζεσθαι παρακελεύονται. καὶ ἐπεὶ πᾶς ὁ μὴ ἀναγεννηθεὶς δι᾿ ὕδατος καὶ πνεύματος, κατὰ τὴν εὐαγγελικὴν τοῦ σωτῆρος ἀπόφασιν, οὐκ εἰσελεύσεται εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, δῆλον, ὡς ὁ μὴ βαπτιζόμενος κατὰ τὴν τοιαύτην παράδοσιν εἰς τρεῖς καταδύσεις ἐκτός ἐστι τῆς βασιλείας τῶν οὐρανῶν.

Αἱ γὰρ τελούμεναι ἐν τῷ ἁγίῳ βαπτίσματι τρεῖς καταδύσεις οὐχ ἁπλῶς καί, ὡς ἔτυχε, γίνονται, ἀλλ᾿ ὑπεμφαίνουσι μυστήρια θεῖα τὲ καὶ

106—108 πάντας τοὺς βαπτιζομένους εἰς μίαν κατάδυσιν ὡς μὴ βαπτισθέντας κατὰ τὴν τοῦ σωτῆρος παράδοσιν ἀναβαπτίζεσθαι] cf. Can. apost. 50 (III 290, 202—292, 208 Metzger) et Conc. Const. I, Can. 7 (I/1, 54, 5—24 Joannou: τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους … βαπτίζομεν) || 108—110 πᾶς—βασιλείαν] cf. Joh. 3, 5

wie soll nicht (noch) viel eher dieser Thron (von Konstantinopel) der bulgarischen Kirche übergeordnet sein, von dem sie mit dem Titel eines Patriarchen geehrt wurde?

Doch sollt Ihr deutlich wissen, daß, wenn wir nicht ein aufrichtiges Verhältnis zum erhabensten Zaren der Bulgaren, dem im Heiligen Geist echtesten Sohn unserer Bescheidenheit, Herrn Ioannes Asanes, und auch die Einstellung hätten, ihn aus dem gegenständlichen Grunde nicht kränken zu wollen, unsere Bescheidenheit als ökumenischer Patriarch durch die Gnade Christi das Recht hätte, seinen Fall (= den Fall des Patriarchen von Tărnovo) richterlich zu entscheiden und vor unserer heiligen und großen Synode zu untersuchen, da er bisher nicht bekannt war, damit er (= der Patriarch) entweder einer Korrektur zugeführt oder kanonisch bestraft wird, da er offensichtlich gegen die Kirche verstößt, von der er, wie bereits oft erklärt wurde, den Status eines Patriarchen erhielt, oder aber zweitens ihm diesen Titel zu entziehen. Die Liebe zu ebendiesem Zaren und das (freundschaftliche) Verhältnis zu ihm überzeugen uns, diesen Fall unbehandelt zu lassen, bis er die Korrektur vom Patriarchen von Tărnovo selbst erhält. Soviel zu dem einen Punkt.

Daß aber die bulgarischen Priester die Taufe mit einem einzigen Eintauchen vornehmen und (die Täuflinge) nur irgendwie mit Wasser besprengen, ist eine völlig abwegige Sache voll Irrglaubens. Denn die Bestimmung der heiligen, ruhmvollen und ruhmreichen Apostel und ihre heiligen Kanones ordnen an, daß alle, die mit einem einzigen Eintauchen getauft werden, neuerlich zu taufen sind, da sie nicht nach der Überlieferung des Heilands getauft wurden. Und da jeder, der nicht aus Wasser und Geist wiedergeboren wurde, gemäß der Verkündung des Heilands in den Evangelien, nicht in das himmlische Reich kommen kann, ist es klar, daß, wer nicht gemäß ebendieser Überlieferung mit dreimaligem Eintauchen getauft wird, von dem himmlischen Reich ausgeschlossen ist.

Denn das bei der heiligen Taufe vollzogene dreimalige Eintauchen geschieht nicht einfach irgendwie, sondern es symbolisiert

89 ὀνομάζεσθαι] εἶναι D || 92 Ἀσάννη V, Ἀσάνη D et MM; Ἀσάνην correximus || 100 πείθει ἐᾶν] πείθειε ἂν D || 101 ἀπολυπραγμόνητα] ἀπολυπραγμονήτως D || 103 τὸ] τί D || 104 περιραντίζειν V, D; περιρραντίζειν scripsimus cum MM | ὕδατι] ὕδατος D || 105 δυσεβείας V || 105—106 πανευφήμων] litt. φ ex corr. V || 111 τὴν supra lin. scripsit V

οὐράνια. τοῦ γὰρ σωτῆρος ἡμῶν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραγγείλαντος «βαπτίζειν πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος», ἤγουν εἰς τὴν τρισυπόστατον θείαν καὶ μακαρίαν καὶ ὑπερούσιον τριάδα, βαπτιζόμενοι ἡμεῖς εἰς τὰς τρεῖς καταδύσεις | τὰς τρεῖς ἐπιβοῶμεν ὑποστάσεις τῆς τρισυποστάτου θεότητος, καθ' ἕκαστον τῶν ἁγίων τούτων ὀνομάτων καταδυόμενοι ἅπαξ ἐν τῷ ὕδατι καὶ ἀναδυόμενοι, κατὰ τὸν πολὺν τὰ θεῖα καὶ τῶν τοιούτων ἐκφάντορα Διονύσιον τὸν Ἀρεοπαγίτην.

Ἅμα δέ, ἐπειδὴ τὸ θεῖον τοῦτο βάπτισμα τοῦ σωτῆρος τὸν θάνατον εἰκονίζει — «ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν,» κατὰ τὸν θεῖον ἀπόστολον, «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν» —, ἔστι δὲ ἡ ταφὴ τοῦ σωτῆρος τριήμερος, βαπτιζόμεθα καὶ ἡμεῖς ἀναγκαίως εἰς τὰς τρεῖς ταύτας καταδύσεις, διὰ τῶν τριῶν τούτων καταδύσεων τὴν τριήμερον ταφὴν καὶ ἀνάστασιν τοῦ σωτῆρος αἰνιττόμενοι. οὐκοῦν οἱ μὴ βαπτιζόμενοι κατὰ τὸν τοιοῦτον τρόπον ἀτελείωτοι πάντως εἰσὶ καὶ ἐλλιπεῖς καὶ μὴ κατὰ τὴν εἰκόνα τῆς ὑψηλῆς τοῦ βαπτίσματος θεωρίας. φησὶ γὰρ ἐπὶ λέξεως οὗτος ὁ ἱερὸς Διονύσιος· «τὸν ἱερῶς βαπτιζόμενον ἡ συμβολικὴ διδασκαλία μυσταγωγεῖ ταῖς ἐν τῷ ὕδατι τρισὶ καταδύσεσι καὶ ἀναδύσεσι τὸν θεαρχικὸν τῆς τριημερονύκτου ταφῆς Ἰησοῦ τοῦ ζωοδότου μιμεῖσθαι θάνατον, ὡς ἐφικτὸν ἀνδράσι τὸ θεομίμητον». ἔστι τοίνυν τὸ μὲν βάπτισμα εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, τὸ δὲ ὕδωρ ἀντὶ τῆς ταφῆς, τὸ δὲ ἔλαιον ἀντὶ πνεύματος ἁγίου, ἡ σφραγὶς ἀντὶ σταυροῦ, τὸ δὲ μύρον βεβαίωσις τῆς ὁμολογίας.

Ὅτι δὲ οὐδὲ χρῶνται ἁγίῳ μύρῳ, κατὰ τὴν νενομισμένην τῆς ἐκκλησίας παράδοσιν, τῷ τελουμένῳ ἐν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ καθ' ἡμᾶς

116—117 Mt. 28, 19 || 117—122 ἤγουν κτλ.] cf. Ps.-Dion. Ar., De eccl. hier. II 1, 7: ὁ δὲ ἱεράρχης … τρὶς μὲν αὐτὸν βαπτίζει ταῖς τρισὶ τοῦ τελουμένου καταδύσεσι καὶ ἀναδύσεσι τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐπιβοήσας ὑπόστασιν (72, 21—73, 2 Heil–Ritter) || 123—124 τὸ θεῖον τοῦτο βάπτισμα τοῦ σωτῆρος τὸν θάνατον εἰκονίζει] cf. Ps.-Dion. Ar., De eccl. hier. II 2, 7: ἡ δι' ὕδατος ὁλικὴ κάλυψις εἰς τὴν τοῦ θανάτου καὶ τοῦ τῆς ταφῆς ἀειδοῦς εἰκόνα παρείληπται (78, 5—6 Heil–Ritter) || 124—125 Rom. 6, 3 || 131—134 Ps.-Dion. Ar., De eccl. hier. II 7 (78, 6—9 Heil–Ritter, sine καὶ ἀναδύσεσι) || 138—139 cf. Conc. Laod., Can. 48 (I/2,

göttliche und himmlische Geheimnisse. Denn da unser Heiland seinen heiligen Schülern und Aposteln auftrug, „alle auf den Namen des Vaters und des Sohnes und des Heiligen Geistes zu taufen“, das heißt auf die göttliche, selige und überwesenhafte Dreifaltigkeit in drei Hypostasen, rufen wir bei der Taufe beim dreimaligen Eintauchen die drei Hypostasen der Gottheit {in drei Hypostasen} an und tauchen bei jedem dieser heiligen Namen einmal im Wasser ein und wieder auf, gemäß Dionysios Areopagites, dem in den göttlichen Dingen überaus (kenntnisreichen) Künder ebendieser Dinge.

Andererseits, da diese heilige Taufe den Tod des Heilands abbildet — denn „wir alle die, auf den Namen Christi getauft wurden“, gemäß dem göttlichen Apostel, „sind auf seinen Tod getauft worden“ — und der Grabeszustand des Heilands drei Tage dauerte, werden auch wir notwendigerweise mit diesem dreimaligen Eintauchen getauft und deuten durch dieses dreimalige Eintauchen das drei Tage dauernde Grab und die Auferstehung des Heilands an. Also sind diejenigen, die nicht auf diese Art und Weise getauft werden, jedenfalls unvollkommen und mangelhaft und sie entsprechen nicht dem Abbild der hohen Schau der Taufe. Denn dieser heilige Dionysios sagt wortwörtlich: „Der in geheiligter Weise Getaufte, so offenbart uns die Symbollehre, ahmt durch das dreimalige Eintauchen in das Wasser und (das ebenso dreimalige) Auftauchen den vom Gottesprinzip vorgesehenen Tod in Form des drei Tage und Nächte währenden Grabeszustandes des Lebenspenders Jesus nach, soweit Menschen die Nachahmung Gottes möglich ist“. Es wird also die Taufe auf den Tod des Herrn gespendet, das Wasser aber anstelle des Grabeszustandes und das Öl anstelle des Heiligen Geistes, das Kreuzeszeichen anstelle des Kreuzes und das Myron als Bekräftigung des Bekenntnisses.

Daß man aber auch kein Myron entsprechend der geltenden Überlieferung der Kirche verwendet, das in unserer heiligsten Gro-

150, 1—6 Joannou; de quaestione myri agitur etiam in epistula Germani patriarchae ad „archiepiscopum Bulgariae“ [id est ad Demetrium Chomatenum Achridensem] directa [34, 24 sqq. Prinzing (ut in introductione ad documentum praesens spectante [sub litt. e])])

117 ἤγουν] ὡς MM || 127 καταδύσεις] καταστάσεις MM || 129 τρόπον] τύπον D; an in V τύπον legendum? || 134 μὲν om. MM || 137 μῦρον V

225v Μεγάλῃ Ἐκκλησίᾳ, καθὼς τοῦτο || διασαφεῖ καὶ παραδίδωσιν ὁ τοιοῦτος μέγας Διονύσιος γίνεσθαι διὰ συναγωγῆς εὐπνόων καὶ εὐόσμων ὑλῶν καὶ εἰδῶν, καὶ τοῦτο παραλογώτατον καὶ ἔξω παντάπασι τῆς ἐκκλησιαστικῆς νομοθεσίας. ἐπειδὴ γὰρ ἡ αἰσθητὴ τῆς εὐωδίας τοῦ ἁγίου μύρου ἀντίληψις εἰς νοητὴν εὐωδίαν τοῦ πνεύματος ἀνάγει τὸν βαπτιζόμενον καὶ τελειοῖ τοῦτον καὶ βεβαιοῖ ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ὁ μὴ χριόμενος τῇ συνθέσει τοῦ τοιούτου μύρου ἀτελείωτος μένει ἐν τῇ τοῦ καλοῦ παγιότητι, στερούμενος διὰ τὸ μὴ μετασχεῖν ταύτης τῆς εὐωδίας καὶ τῆς θεαρχικῆς εὐωδίας ἐκείνης καὶ θειοτάτης τροφῆς. φησὶ γὰρ ὁ αὐτὸς ἱερὸς θεολόγος· «ἡ τοῦ μύρου συμβολικὴ σύνθεσις ὡς ἐν μορφώσει τῶν ἀμορφώτων αὐτὸν ἡμῖν ὑπογράφει τὸν Ἰησοῦν πηγαῖον ὄντα τῶν θείων εὐωδῶν ἀντιλήψεων ἔργων», ἤγουν αὐτὸ τὸ μύρον σημαίνει τὸν εὐώδη Ἰησοῦν, πηγὴν ὄντα τῶν θείων χαρισμάτων καὶ τοὺς πιστοὺς πάντας εὐωδιάζοντα κατὰ τὸν θεῖον ἀπόστολον φάσκοντα, ὅτι ὑμεῖς | ἐστὲ «εὐωδία Χριστοῦ».

Τοῦ γοῦν θείου βαπτίσματος οὕτω παραδοθέντος καὶ τελουμένου παρὰ τῆς ἐκκλησίας Χριστοῦ, ὁ παρὰ τὴν τοιαύτην ὑποτύπωσιν βαπτίζων ἢ βαπτιζόμενος εἰς μίαν κατάδυσιν ἢ περιρραντιζόμενος ὕδατι καὶ οὕτως ἁπλῶς καί, ὡς ἔτυχε, τελῶν τὸ τοιοῦτο μυστήριον καὶ χρίων ἢ καὶ χριόμενος ἀντὶ τοῦ ἁγίου τούτου μύρου μύρῳ τῶν λειψάνων τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Δημητρίου ἢ τοῦ ἁγίου Βαρβάρου, ὁ τοιοῦτος ὡς ἀθετῶν προδήλως τὴν ἐκκλησιαστικὴν παράδοσιν, οὐκ οἶδα ποίαν ἀπολογίαν δώσει ἐν ἡμέρᾳ κρίσεως τῷ Θεῷ ἢ πῶς ἐκφεύξεται τῆς κολάσεως, περὶ τὸ κυριώτατον τῆς πίστεως ἐξαμαρτών.

Διατοῦτο καὶ ἐπειδὴ ἐκ θεοφιλοῦς γνώμης ἀναφορὰν ἐποιήσατε περὶ τούτων εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον — ὡς ἄνδρες εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενοι ἱκανῶς καὶ

141—142 διὰ συναγωγῆς εὐπνόων καὶ εὐόσμων ὑλῶν καὶ εἰδῶν] cf. Ps.-Dion. Ar., De eccl. hier. IV 4: ἡ τοῦ μύρου σύνθεσις συναγωγή τίς ἐστιν εὐπνόων ὑλῶν ἐν ἑαυτῇ πλουσίως ἔχουσα ποιότητας εὐόσμους (98, 23—24 Heil–Ritter) || 149—151 Ps.-Dion. Ar., De eccl. hier. IV 4 (99, 8—10 Heil–Ritter; ἔργων [sic et D!] in textu Ps.-Dion. Ar. deest) || 154 2 Cor. 2, 15 || 162 cf. Mt. 12, 36

ßen Kirche Gottes hergestellt wird, wie es ebendieser große Dionysios deutlich macht und überliefert, daß dies durch die Sammlung wohlriechender und duftender Substanzen und Spezereien entsteht, auch das ist völlig unsinnig und gänzlich außerhalb der kirchlichen Gesetzgebung. Da nämlich die sinnliche Wahrnehmung des Wohlgeruches des heiligen Myron den Täufling zum gedanklichen Wohlgeruch des Geistes hinführt und diesen vollkommen macht und im Bekenntnis des Glaubens bestärkt, bleibt derjenige, der nicht mit der Zusammensetzung dieses Myron gesalbt wird, in der Festigkeit des Guten unvollendet und entbehrt, weil er an diesem Wohlgeruch nicht teilhat, auch jenes von Gott kommenden Wohlgeruches und der heiligsten Nahrung. Es sagt nämlich ebendieser heilige Theologe: „Die symbolträchtige Zusammensetzung des Myron stellt uns gleichsam in Gestaltung des Gestaltlosen Jesus selbst als Quelle der göttlichen Werke der Wohlgeruchsempfindungen dar", das heißt, daß dieses Myron den wohlriechenden Jesus bezeichnet, der die Quelle der göttlichen Gnadengaben ist und allen Gläubigen Wohlgeruch verleiht, gemäß dem Wort des göttlichen Apostels: Ihr seid ein „Wohlgeruch Christi".

Die heilige Taufe wurde also dergestalt von der Kirche Christi überliefert und wird so vollzogen. Derjenige, der (unter Verstoß) gegen ebendiese Regel tauft oder getauft wird, indem er dieses Sakrament durch einmaliges Eintauchen oder durch das einfache und zufällige Besprengen mit Wasser vollzieht und indem er anstelle dieses heiligen Myron mit dem von den Reliquien des heiligen und ruhmvollen Großmärtyrers Demetrios oder des heiligen Barbaros (stammenden) Myron salbt oder gesalbt wird, verstößt offensichtlich gegen die kirchliche Überlieferung, und ich weiß nicht, wie er sich am Tage des Gerichts vor Gott verantworten wird oder wie er der Strafe entfliehen wird, da er im Wichtigsten des Glaubens gefehlt hat.

Deshalb und da Ihr aus gottliebender Gesinnung diesbezüglich unserer Bescheidenheit und der um sie versammelten göttlichen und heiligen Synode Bericht erstattet habt — als Männer, denen an Fröm-

140 παραδίδωσιν] litt. ω ex o corr. V || 147 παγιότητι] παναγιώτητι D || 151 εὐώδων V | ἤγουν] ὡς MM || 152 Ἰησοῦν] Χριστόν D || 153 πάντας] πάντως MM || 157 περιραντιζόμενος V, D, MM || 158 τοιοῦτον V, D || 159 μύρῳ] μῦρον V, D; μύρον MM || 160 καὶ ἐνδόξου μεγαλομάρτυρος om. D | τοῦ ἁγίου Βαρβάρου] ἑτέρων ἁγίων D || 163 τὸ] litt. o ex ῶ corr. V | τῶν κυριωτάτων MM | ἁμαρτών MM

χρῄζοντες μάλιστα τῆς ὠφελείας τῶν αὐτόθι χριστιανῶν Βουλγάρων — καὶ ἤδη ἐλάβετε ἐγγράφως πληροφορίαν ἐναργεστάτην συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος καὶ ὡς ἐν κεφαλαίῳ ἐπιτομωτάτην διδασκαλίαν τοῦ σεπτοῦ μυστηρίου τοῦ σωτηριώδους βαπτίσματος, εἴπερ μέλει ὑμῖν, ὥσπερ δὴ καὶ μέλει, τῆς τῶν πολλῶν σωτηρίας, διεγέρθητε πρὸς νουθεσίαν καὶ διδασκαλίαν τὴν περὶ τούτου εἴς τε τοὺς ὄντας αὐτόθι ἀρχιερεῖς καὶ εἰς πάντας τοὺς ἱερεῖς τῶν Βουλγάρων καὶ διδάξατε τούτους ἐκτελεῖν τὸ μυστήριον τοῦ βαπτίσματος κατὰ τὴν ὑποτύπωσιν τῆς ἐκκλησίας Θεοῦ, καὶ καθὼς ἐνταῦθα ὡς ἐν ἐπιτομῇ γέγραπται, καὶ βαπτίζειν τοὺς τελουμένους τῷ θείῳ λουτρῷ εἰς τρεῖς καταδύσεις καὶ ἐν ἀγγείῳ πλήρει ὕδατος μετὰ ἐλαίου, περιχρίειν τε αὐτοὺς ἐν ὅλοις τοῖς μέλεσι τῷ θείῳ τούτῳ καὶ σεπτῷ μύρῳ καὶ οὕτως ἀπαρτίζειν καὶ τελειοῦν κατὰ τὴν τῶν θείων ἀποστόλων καὶ ἱερῶν κανόνων παράδοσιν, τὰ μέντοι ἀγγεῖα, ἐν οἷς ἐκπληροῦται τὸ βάπτισμα, παραφυλάττειν μόνον εἰς τὴν τοιαύτην ὑπηρεσίαν καὶ μὴ καταχρῆσθαι ὅλως εἰς ἑτέραν τινὰ χρείαν, ἐπεὶ καὶ τοῦτο ἄθεσμόν ἐστι καὶ ἀνευλαβές.

Ἐπεὶ δὲ ἡ τοῦ ἁγίου σύνθεσις μύρου ἐν τῇ τῶν Βουλγάρων ἐκκλησίᾳ οὐκ ἐκτελεῖται, ἔστι δὲ παράδοσις ἐκτελεῖσθαι τοῦτο ἐν τῇ καθ᾽ ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ, ὀφείλει, ἵνα κατὰ τὸν καιρὸν τῆς ἁγίας τεσσαρακοστῆς ἐκλεγῶσι τῶν ἀπαυτόθι τινὲς ἱερωμένων εὐλαβείας ἀντιποιούμενοι, μετ᾽ ἐξόδου τῆς προσηκούσης ἐπὶ τῇ τούτου κατασκευῇ, καὶ τελεσθέντος κατὰ τὴν νενομισμένην παράδοσιν λήψονται καὶ οὗτοι τὸ μέγα τοῦτο | καὶ θεῖον μύρον εἰς τελείωσιν τῶν βαπτιζομένων, ὡς εἴρηται.

Ταῦτα μὲν οὖν παρακελεύεται ὑμῖν ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου εἰς τὴν ἐφεξῆς διόρθωσιν τῶν πραττομένων ἀκανονίστως εἰς τὴν αὐτόθι τῶν Βουλγάρων ἐκκλησίαν. καὶ εἰ μὲν εἰς αἴσθησιν ἔλθοιεν τοῦ καλοῦ καὶ μεταμάθοιεν τὴν κακίαν, ἐπειδὴ εἰς τὸ βάπτισμα, τὸ τῆς σωτηρίας κεφάλαιόν, ἐστιν ἡ καινοτομία καὶ ἡ παράβασις, χαρισθείη ἴσως αὐτοῖς συγγνώμη παρὰ Θεοῦ, ὡς μὴ

170 μέλλει V (λ[2] supra lin.), D; μέλει scripsimus cum MM || 171 μέλλει V || 177 ὕδατος] litt. τ ex corr. V || 184 οὐκεκτελεῖται V || 186 ἱερωμένων, τινὲς εὐλαβείας MM || 188 τελεσθέντες MM

migkeit und Tugend überaus gelegen ist und die inständig den Nutzen der bulgarischen Christen dort wünschen — und da Ihr hiermit bereits schriftlich eine überaus klare Auskunft von der Synode und unserer Bescheidenheit und eine zu einem Kapitel gekürzte Belehrung über das verehrungswürdige Sakrament der heilbringenden Taufe erhalten habt, macht Euch, wenn Euch am Heil der Vielen gelegen ist, wie Euch ja daran gelegen ist, zur diesbezüglichen Unterweisung und Belehrung zu den dortigen Erzpriestern und zu allen bulgarischen Priestern auf und lehrt sie die Vollziehung des Sakraments der Taufe nach der Regel der Kirche Gottes, nämlich, wie hier sozusagen in einer Kurzfassung geschrieben steht, (das heißt) die im göttlichen Bade zu Vollendenden durch dreimaliges Eintauchen zu taufen, und (zwar) in einem Gefäß voll Wasser mit Öl, und sie an allen Gliedern mit diesem göttlichen und verehrungswürdigen Myron zu salben und sie so gemäß der Überlieferung der göttlichen Apostel und der heiligen Kanones zu vervollständigen und zu vervollkommnen; die Gefäße freilich, in denen die Taufe vollzogen wird, sollen ausschließlich für diesen Dienst aufbewahrt und überhaupt zu keiner anderen Verwendung mißbraucht werden, weil auch das gegen das Gesetz verstößt und unfromm ist.

Da aber die Zusammensetzung des heiligen Myron in der bulgarischen Kirche nicht vollzogen wird, es aber in unserer heiligsten Großen Kirche Gottes eine Tradition gibt, dies zu vollziehen, sollen zur heiligen vierzigtägigen Fastenzeit einige von den dortigen Priestern ausgewählt werden, die um die Frömmigkeit bemüht sind, (und) mit einem angemessenen Betrag zu dessen (= des Myron) Herstellung (ausgestattet werden[1]), und {auch} diese sollen, nachdem (die Zubereitung) gemäß der geltenden Überlieferung vollzogen worden ist, dieses große und göttliche Myron zur Vollendung der Täuflinge, wie gesagt, in Empfang nehmen.

Das also befiehlt Euch unsere Bescheidenheit gemeinsam mit der um sie versammelten göttlichen und heiligen Synode zur künftigen Korrektur der unkanonischen Handlungen in der dortigen bulgarischen Kirche. Und wenn sie das Gute erkennen und vom Bösen ablassen, da es sich um eine (unzulässige) Neuerung und Übertretung bei der Taufe, dem Herzstück des Heils, handelt, wird ihnen vielleicht von Gott Vergebung gewährt, weil sie keine genaue

[1] Ergänze sinngemäß: und nach Konstantinopel geschickt werden.

γινώσκουσιν ἀκριβῶς ταύτην τὴν ἱερὰν ὑποτύπωσιν. εἰ δὲ καὶ νῦν μετὰ τὴν πεῖραν καὶ γνῶσιν τοῦ πράγματος, ἔτι δὲ καὶ τὴν ἡμετέραν νουθεσίαν καὶ διδασκαλίαν, ὑμῶν τῶν εὐλαβῶν καὶ τιμίων μοναχῶν παρακινησάντων εἰς τοῦτο αὐτούς, μείνειαν ἀδιόρθωτοι, ἡ μὲν μετριότης ἡμῶν
226r καὶ ἡ περὶ αὐτὴν || θεία καὶ ἱερὰ σύνοδος ἐκπεπληρώκαμεν, μηδὲν παραλιπόντες τῆς ὀφειλῆς, ἧς ἔχομεν εἰς Θεὸν ὑπὲρ τοῦ διδάσκειν καὶ δῆλα τιθέναι τοῖς πιστοῖς τὰ τούτου μυστήρια, οὗτοι δὲ πείσονται τὴν ἐσχάτην δίκην, καὶ μάλιστα οἱ τῶν ἐκκλησιῶν προϊστάμενοι καὶ οἱ ἱερεῖς, καὶ λήψονται μεγάλην παρὰ Θεῷ τὴν ἀγανάκτησιν καὶ ὀργήν, ἀνθ᾽ ὧν οὐκ ἐπείσθησαν τῇ παραδόσει καὶ διδασκαλίᾳ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Ἀλλ᾽ εὐχόμεθα τῷ Θεῷ μηδαμῶς τοῦτο γενέσθαι, ἀλλὰ καὶ σπουδάσαι καὶ διεγερθῆναι τὴν ἐκκλησίαν ταύτην καὶ κατὰ τὴν θείαν παράδοσιν τὸ μέγα καὶ οὐράνιον τοῦτο τοῦ βαπτίσματος δῶρον καὶ τοὺς ἱερεῖς τῷ λαῷ διδόναι καὶ τὸν λαὸν παρ᾽ ἐκείνων δέχεσθαι, ὡς ἂν εἴη τὸ δῶρον ἀληθῶς δῶρον καὶ ἐλευθερία καὶ ἀπαλλαγὴ τοῦ προγονικοῦ ἁμαρτήματος καὶ υἱοθεσίας πρόξενον καὶ μηδαμῶς κατακρίσεως ἀφορμή, πρεσβείαις τῆς πανυπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων· ἀμήν †. ||

201 ἐκπεπληρώκαμεν] obiectum ad verbum pertinens deest! || 205 Θεοῦ MM || 211 ἂν om. MM || 212 καὶ[2]] litt. κ ex τε corr. V || 215 primam lin. documenti sequentis (cf. 265, 1) mensis et indictionis indicationem continentem pro ultima lin. documenti praesentis perperam habuerunt MM | post finem documenti reliqua pars f. 226r scriptura caret

265

Kallistos I. enthebt den Priestermönch Ioasaph des Hodegon-Klosters wegen Unzucht des Priesteramtes.

V 47, f. 226v	μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος α' (Z. 1)
MM I 442—443 (Nr. 187)	Dezember ⟨1362⟩
Dar. Reg. 2385[1]	(vgl. διέγνω [Z. 26])

[1] Mit falscher Datierung auf Dezember 1355 (vgl. den textkritischen Apparat zu Z. 1) und mit der nicht zutreffenden Aussage, daß von der Absetzung nebst Ioasaph ein weiterer Mönch betroffen sei.

Kenntnis von dieser heiligen Vorschrift hatten. Wenn sie aber auch jetzt (noch), nachdem sie diese Sache erfahren und Kenntnis von ihr erlangt und noch dazu unsere Ermahnung und Belehrung erhalten haben und nachdem Ihr, die frommen und ehrwürdigen Mönche sie dazu angehalten habt, (weiterhin) keine Korrektur vornehmen, hat unsere Bescheidenheit und die um sie versammelte göttliche und heilige Synode ohne Abstriche ihre Pflicht erfüllt, die wir Gott gegenüber haben, (nämlich) die Gläubigen seine Sakramente zu lehren und sie ihnen zu erklären, diese aber, und vor allem die Vorsteher der Kirchen und die Priester, werden die äußerste Strafe erleiden und sich Gottes großen Unwillen und Zorn zuziehen, dafür daß sie der Überlieferung und der Lehre der heiligen katholischen und apostolischen Kirche Christi den Gehorsam verweigert haben.

Aber wir beten zu Gott, daß dies nicht geschieht, sondern sich diese (= die bulgarische) Kirche bemüht und aufmacht und die Priester dieses große und himmlische Geschenk der Taufe dem Volk gemäß der heiligen Überlieferung spenden und das Volk es von ihnen entgegennimmt, damit das Geschenk wahrhaftig ein Geschenk ist und Freiheit und Erlösung von der Erbsünde und die Annahme an Kindes Statt bewirkt und in keiner Weise Anlaß für Verdammnis ist, durch die Vermittlung unserer über alle Maßen gebenedeiten Herrin, der Gottesgebärerin, und aller Heiligen. Amen.

265

Datierung (1). *Öffentlicher Skandal um die Unzucht des Ananias mit einer Prostituierten in seiner Zelle im Hodegon-Kloster* (2—7). *Im Zuge der vom Patriarchen durchgeführten Untersuchung vor Ort* (7 bis 14) *Aufkommen des Verdachtes der Unzucht des Mönches Ioasaph mit der Prostituierten Moschonu* (14—21). *Bestätigung durch Zeugenaussagen* (21—26). *Suspendierung des Ioasaph vom Priesteramt* (26 bis 28).

226r Μηνὶ δεκεβρίῳ ἰνδικτιῶνος α΄.

† Ἐπεὶ ὁ τοῦ Τύρου ἀνεψιός, ὁ Ἀνανίας, καὶ ἄλλα μὲν ἄτοπα καὶ μὴ ἀνήκοντα ὅλως μοναχικῇ πολιτείᾳ καὶ ἱερατικῷ σεμνώματι ἀπειργάσατο, ἑάλω δὲ ἐπαυτοφώρῳ ἐν μιᾷ τῶν νυκτῶν συνευναζόμενος καὶ συγκοιμώμενος καὶ συνδιαφθειρόμενος πόρνῃ γυναικί, ἐφ᾽ οἷς καὶ πολυθρύλου τῆς τοιαύτης ὕβρεως γενομένης, καθ᾽ ἣν ἐκρατήθη | ἐν τῷ κελλίῳ αὐτοῦ ὅδε ὁ Ἀνανίας μετὰ τῆς τοιαύτης φαύλης γυναικός, καὶ τῆς ἡμῶν μετριότητος εἰς τὴν σεβασμίαν τῶν Ὁδηγῶν μονὴν παραγενομένης καὶ πάντων τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν ἐπὶ τῷ αὐτῷ συνελθόντων καὶ τὴν τοιαύτην ἀτοπίαν τοῦ μοναχοῦ Ἀνανίου οἰκείοις ὄμμασι θεασαμένων, ὑπὲρ μὲν τοῦ τοιούτου Ἀνανίου, ὡς προδήλως τοῦ πάθους αὐτοῦ γενομένου καὶ τῆς ἀναισχύντου καὶ ἐκδεδιῃτημένης καὶ φαύλης προαιρέσεως ἐπ᾽ ὀφθαλμοῖς πάντων ἀποδειχθείσης, οὐκ ἐδέησε λοιπὸν γενέσθαι ἐξέτασίν τινα, ὡς μήτινος οὔσης ἀμφιβολίας, ἐλαλήθησαν δέ, ὡς εἰσὶ καὶ ἕτεροί τινες ἐνισχημένοι τοῖς τοιούτοις ἀτοπήμασιν, ἀφ᾽ ὧν καὶ ὁ μοναχὸς Ἰωάσαφ· δι᾽ ἃ καὶ ἐξεφωνήθη παρὰ τῆς ἡμῶν μετριότητος βάρος ἀφορισμοῦ, ὡς ἂν ὁμολογήσαιεν οἱ μοναχοί, ὅσον ἐπίστανται περί τε τοῦ τοιούτου μοναχοῦ Ἰωάσαφ καὶ περὶ τῶν ὑποπτευομένων ἑτέρων προσώπων, κἀντεῦθεν καὶ διωμολόγησαν, ὡς ἔστιν ὑφορώμενος ὅδε ὁ Ἰωάσαφ συνδιαφθείρασθαι τῇ γυναικὶ τῇ Μοσχονοῦ λεγομένῃ, φαύλῃ καὶ ἐκδεδιῃτημένῃ οὔσῃ καὶ ταύτῃ — ὁ δέ γε πορτάριος τῆς αὐτῆς μονῆς ἔδειξεν, ὡς εἰσήρχετο συνεχῶς ἡ τοιαύτη Μοσχονοῦ καὶ ἀπήρχετο ἐν τῷ κελλίῳ τοῦδε τοῦ μοναχοῦ Ἰωάσαφ, συνῳδὰ δὲ τούτῳ εἰρηκὼς καὶ ὁ ⟨± 8⟩ ἔφη, ὡς εἶδεν αὐτὸν δὴ τὸν μοναχὸν Ἰωάσαφ νυκτὸς τῆς ἐκκλησίας ψαλλούσης συνομιλοῦντα τῇ τοιαύτῃ γυναικὶ καὶ προπορευόμενον μετ᾽ αὐτῆς —, ἤδη ὡς τῆς τοιαύτης ὑποθέσεως οὕτω προβάσης διέγνω ἡ μετριότης ἡμῶν εἶναι τὸν τοιοῦτον μοναχὸν Ἰωάσαφ ἀργὸν καὶ ἐπισχημένον εἰς τὴν ἱερωσύνην αὐτοῦ †.

2 cf. linn. 49 et 51 documenti 239 huius editionis || 4—5 cf. linn. 63—64 documenti 239

1 indicatio mensis indictionisque ante initium documenti in parte superiore f. 226v scripta (ab altera manu, ut suspicatus est Dar. Reg. 2385 [„Date"]?); perperam pro ultima linea documenti praecedentis (PRK 264) habuerunt MM | α΄] θ΄ perperam MM et Dar. Reg. || 5—6 πολυθρύλου scripsimus cum MM, πολυθρήλου V || 8 σεβασμίαν τῶν Ὁδηγῶν in marg. scripsit V || 20 συνδιαφθείρασθαι] ex corr. V, συνδιαφθείρας MM || 22 ἀπείρχετο V, MM || 23 συνῳδᾶ V | post ὁ lacunam ca. 8 litt. (pro nomine alterius testis) praebet V || 27 εἶται V

Im Monat Dezember der 1. Indiktion.

Nachdem der Neffe des (Metropoliten von) Tyros, Ananias, auch andere Ungeheuerlichkeiten und Dinge, die in keiner Weise zu einer mönchischen Lebensführung und zur Würde eines Priesters gehören, begangen hatte, wurde er eines Nachts auf frischer Tat dabei betreten, wie er mit einer Prostituierten verkehrte, schlief und mit ihr Unzucht trieb. Die Freveltat, bei der ebendieser Ananias mit dieser verdorbenen Frau in seiner Zelle ertappt wurde, sprach sich daraufhin herum. Unsere Bescheidenheit fand sich im verehrungswürdigen Hodegon-Kloster ein, und alle in diesem Kloster lebenden Mönche kamen an ebendiesem Ort zusammen und sahen diese vom Mönch Ananias (begangene) Ungeheuerlichkeit mit eigenen Augen. Da des Ananias Leidenschaft offensichtlich geworden war und seine schamlose, verpönte und schlechte Neigung vor aller Augen bewiesen worden war, erübrigte sich hiermit jegliche Untersuchung seines (Falles), da keinerlei Zweifel bestand. Man brachte jedoch vor, daß sich auch weitere solcher Ungeheuerlichkeiten schuldig gemacht haben, unter ihnen auch der Mönch Ioasaph. Deshalb wurde von unserer Bescheidenheit mit der (ganzen) Schwere der Exkommunikation gedroht, damit die Mönche aussagten, was sie über diesen Mönch Ioasaph und die anderen verdächtigten Personen wüßten. Daraufhin sagten sie auch übereinstimmend aus, daß dieser Ioasaph verdächtigt werde, mit der Frau mit dem Namen Moschonu, die ebenfalls eine schlechte und fehlgeleitete Frau sei, Unzucht begangen zu haben. Der Pförtner des Klosters gab an, daß diese Moschonu ständig hereinzukommen und in der Zelle dieses Mönches Ioasaph hineinzugehen pflegte. Damit stimmt auch überein, was auch ... sagte, nämlich daß er diesen Mönch Ioasaph nachts, während in der Kirche gesungen wurde, mit dieser Frau verkehren und mit ihr weggehen gesehen habe. Da nun dieser Fall einen solchen Verlauf nahm, entschied unsere Bescheidenheit, daß dieser Mönch Ioasaph suspendiert und seines Priesteramtes enthoben sein soll.

266

Kallistos I. und die Synode versetzen den Metropoliten Eusebios von Sugdaïa und Phulla in die Metropolis Ainos.

V 47, f. 226^{v}—227^{r} μηνὶ μαρτίῳ (Z. 1)
MM I 443 (Nr. 188 [nur lat. Kopfregest]) März ⟨1363 (?)⟩
Dar. Reg. 2452 συνοδικὴ πρᾶξις (Z. 58)

Erwähnte Urkunden und Gesetze:
a) Einsetzung des ⟨Eusebios⟩ als Metropolit von Sugdaïa und Phulla, ⟨etwa Mai/Juli 1347; vgl. Dar. Reg. 2276 = PRK 157⟩ (vgl. ἐγκαταστὰς [Z. 16])
b) wiederholte (schriftliche?) Aufforderungen des Patriarchen ⟨Kallistos I.⟩ an den Metropoliten ⟨Eusebios⟩ von Sugdaïa und Phulla, dieser möge sich in seine Metropolis begeben (vgl. πολλάκις καὶ διαφόρως διαμηνυθεὶς παρὰ τῆς ἡμῶν μετριότητος [Z. 31]).

† Μηνὶ μαρτίῳ συναθροισθέντων τῶν ἱερωτάτων ἀρχιερέων ἐγένετο ἡ παροῦσα μετάθεσις †

† Ἡ μετριότης ἡμῶν κρίμασι θειοτέροις τὴν τῆς οἰκουμενικῆς προστασίαν ἐκκλησίας ἐμπιστευθεῖσα προὔργου ποιεῖται παντὸς τὸ τὰς ἑκασταχοῦ τῆς οἰκουμένης ὑπὸ τὴν καθ' ἡμᾶς ἐπαρχίαν τελούσας ἁγιωτάτας ἐκκλησίας ποιμένων εὐμοιρεῖν ἐπὶ λυσιτελείᾳ ψυχικῇ τοῦ χριστωνύμου καὶ ὀρθοδόξου πληρώματος καὶ τὸ τοὺς ἱερωτάτους ἀρχιερεῖς τοὺς στερηθέντας ὑπὸ τῆς ἐπιφυείσης ἀνωμαλίας τοῖς πράγμασι καὶ ἐθνικῆς ἐφόδου τῶν οἰκείων ἐκκλησιῶν ἐγκαθιστᾶν ἑτέραις καὶ ταύτῃ εὐστάθειαν μὲν καὶ ποιμανσίαν διατηρεῖσθαι ἐν αὐταῖς, διενεργεῖν δὲ καὶ τοὺς τοιούτους ἀρχιερεῖς τὰ προσήκοντα πάντα τῷ ἱερατικῷ αὐτῶν ἀξιώματι καὶ οὕτως ἑκάτερα διιθύνεσθαι τῇ κανονικῇ συντηρήσει καὶ ἀκριβείᾳ.

Ταῦτ' ἄρα καὶ ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Σουγδαΐας καὶ Φούλλων, ὑπέρτιμος, ἀγαπητὸς κατὰ Κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἐγκαταστὰς πρό τινων ἤδη χρόνων

1—2 titulus in V a man. pr. scriptus (non ab alia manu, ut vult Dar. Reg. 2452 [„Date"])

266

Überschrift (1—2). *Pflicht der Kirchenführung zur Sorge für das Wohlergehen sowohl der Erzpriester als auch der Einzelkirchen* (3—13). *Flucht des Metropoliten von Sugdaïa und Phulla aufgrund unhaltbarer Zustände in seiner Metropolis nach Konstantinopel* (14—30). *Vor die Wahl gestellt, in seine Metropolis zurückzukehren oder Sugdaïa aufzugeben und in eine andere Kirche versetzt zu werden, entscheidet sich dieser für letzteres* (31—37). *Beschluß der Synode, ihn nach Ainos zu versetzen* (37—46). *Seine Rechte als Metropolit von Ainos* (47—51). *Pflichten des Kirchenvolkes von Ainos* (52—55). *Ausstellungsvermerk* (56—58).

Die vorliegende Versetzung wurde im Monat März vor den versammelten heiligsten Erzpriestern vorgenommen

Unsere Bescheidenheit, der auf göttlichen Ratschluß die Leitung der ökumenischen Kirche anvertraut worden ist, sieht ihre oberste Aufgabe darin, daß die überall in der Ökumene unserer Kirchenprovinz unterstehenden heiligsten Kirchen zum Nutzen der Seelen des christlichen und rechtgläubigen Volkes über Hirten verfügen, aber auch darin, die heiligsten Erzpriester, die durch die entstandenen politischen Wirren und den Angriff der Heiden ihre eigenen Kirchen verloren haben, in andere einzusetzen, auf diese Weise (die) Stabilität und die Betreuung durch einen Hirten in diesen zu gewährleisten, aber auch darin, daß diese Erzpriester alles, was ihrer Priesterwürde zukommt, ausführen und so beides durch kanonische Beachtung und Genauigkeit geleitet wird.

(Dies gilt auch für den folgenden Fall:) Der heiligste Metropolit von Sugdaïa und Phulla, Hypertimos und im Herrn geliebter priesterlicher Mitbruder unserer Bescheidenheit, wurde bereits vor ei-

